τὴν ἀλήθειαν ζῆλος τέλος ἠγέρθη—συγκροτηθεισῶν ἐν Δύσει τοπικῶν τινων συνόδων, αἵτινες κατέστησαν τὴν ἀλήθειαν τοῦ Χριστοῦ ὑπόθεσιν γενικοῦ ζήλου. Ἀλλ' ἀνάγκη ἦν γενέσθαι τι καὶ ὑπὲρ τῆς Ἀνατολῆς. Ὁ Αὐτοκράτωρ Κώνστας, γνωρίσας καὶ ἀγαπήσας τὸν Ἀθανάσιον, μετ' ἀνωφελῆ ὑπὲρ αὐτοῦ μεσιτείαν πρὸς τὸν ἀδελφὸν αὐτοῦ, τέλος ἀπήτησεν ἐπιμόνως παρὰ τοῦ Κωνσταντίου τὴν συγκάλεσιν Οἰκουμενικῆς συνόδου. Τῷ 347 συνεκροτήθη ἐν Σαρδικῇ, πόλει τῆς Ἰλλυρίας, σύνοδος, ἐν ᾗ προὐτάθη ἡ ἐξέτασις τῆς ὑποθέσεως τοῦ Ἀθανασίου καὶ τῶν ἄλλων ὁμολογητῶν ἐπισκόπων [β]. Ἀλλ' ἡ ἐξέτασις αὕτη ἐν γενικῇ συνόδῳ ἔμελλε τελείαν ἐπενεγκεῖν καταδίκην τοῖς Ἀρειανοῖς. Διὸ ἀπελθόντες οὗτοι εἰς Φιλιππούπολιν, συνεκρότησαν ἰδίαν σύνοδον, ἧς ἐπακολούθημα ἦν, ὅτι ἀπεστάλη εἰς Ἀλεξάνδρειαν διαταγὴ φονεῦσαι τὸν Ἀθανάσιον, ἐὰν ἐμφανισθῇ ἐνταῦθα. Ἀλλ' οἱ ἀπεσταλμένοι τῆς ἐν Σαρδικῇ συνόδου, ἐξηγησάμενοι τῷ Κωνσταντίῳ τὰ καθ' ἕκαστα τῆς ὑποθέσεως, καὶ ἀποκαλύψαντες τὴν νέαν ἄτιμον πρᾶξιν τῶν Ἀρειανῶν (ὁμοίαν τῇ πρὸς τὸν Εὐστάθιον), ἔπεισαν αὐτὸν μετριάσαι τὴν πρὸς αὐτοὺς ἐμπιστοσύνην, καὶ τρὶς ἔγραψε πρὸς τὸν Ἀθανάσιον ἐλθεῖν πρὸς αὐτόν, βεβαιῶν αὐτὸν περὶ τῆς προσωπικῆς αὐτοῦ ἀσφαλείας καὶ τοῦ πρὸς αὐτὸν ἐξαιρέτου σεβα-

Ἐλπίδιον, προσκαλῶν αὐτοὺς εἰς Ρώμην πρὸς συγκρότησιν συνόδου, ἣν αὐτοὶ ἐζήτησαν. Ἀλλὰ μαθόντες τὴν ἐν Ρώμῃ παρουσίαν τοῦ Ἀθανασίου οὐ μόνον ἠρνήθησαν, ἀλλὰ καὶ ἐκράτησαν ἐπὶ πολλοὺς μῆνας τοὺς ἀπεσταλμένους. Ἀναχωροῦσιν αὐτοῖς ἔδωκαν ἐπιστολὴν πρὸς τὸν Ἰούλιον πάνυ εὔγλωττον, σύναμα δὲ ὑπεροπτικὴν καὶ ἀπειλητικήν· πρὸς τοῖς ἄλλοις κατηγόρουν αὐτοῦ, ὡς δεξαμένου εἰς ἐκκλησιαστικὴν κοινωνίαν τὸν Ἀθανάσιον, κατακεκριμένον ὄντα. Εἰς τὴν ἐπιστολὴν ταύτην ἀπεκρίνατο ὁ Ἰούλιος μετὰ τῆς προσηκούσης ἀξιοπρεπείας, μεθ' ἁπλότητος καὶ εἰλικρινείας ἀποστολικῆς, καὶ τέλος μετὰ ζήλου προσήκοντος τῷ προμάχῳ τῆς καταπολεμουμένης ἀθωότητος. Σ. Μ.

[β] Ἐν τῇ συνόδῳ ταύτῃ ἔμελλον συζητηθῆναι τρία ἀντικείμενα· α) Εἰ ἡ προσβληθεῖσα πίστις ὤφειλε βεβαιωθῆναι· β) εἰ ἐπιθεωρητέα ἡ ὑπόθεσις τῶν ὑπὸ τῶν Εὐσεβιανῶν ἀποβληθέντων ἐπισκόπων· γ) εἰ πᾶν, ἐφ' ᾧ οἱ Ἀρειανοὶ κατεκρίθησαν, ὤφειλεν ἐνταῦθα διεξετασθῆναι, πανταχόθεν ἐγειρομένων κατ' αὐτῶν αἰτιάσεων (Hilar. fragm. fol. 1291). Σ. Μ.

σμοῦ. Τῷ 348, ὅτε ἤδη ἀπέθανεν ὁ Γρηγόριος, ἡ δὲ φωνὴ τοῦ Κώνσταντος ἠνάγκασεν, ὅπως γένωνται ἐν τῇ Ἀνατολῇ πολλαὶ μεταβολαὶ ἐπὶ τὸ κρεῖττον, ὁ Ἀθανάσιος παρέστη τῷ Κωνσταντίῳ [*], ἔξη-

[*] Αὐτὸς ὁ Κωνστάντιος ἐπεθύμει διαλέξασθαι προσωπικῶς τῷ Ἀθανασίῳ. Ἔγραψεν οὖν αὐτῷ: «Ἐπὶ πολύ σε κλυδωνίζεσθαι καὶ χειμάζεσθαι τοῖς τῆς θαλάσσης ὁμοίως κύμασιν ἀγρίοις, οὐκ ἀφῆκεν ἡ τῆς ἡμετέρας ἡμερότητος φιλανθρωπία. Γυμνωθέντα σε τῆς πατρῴας ἑστίας, καὶ στερηθέντα τῶν ἰδίων, καὶ πλανώμενον ἐν θηριώδεσιν ἀνοδίαις, οὐ παρεῖδεν ἡ ἀκάματος ἡμῶν εὐσέβεια. Εἰ καὶ τὰ μάλιστα ἐπὶ πολὺ ὑπερεθέμην γράψαι τὴν πρόθεσιν τῆς ἐμῆς διανοίας, προσδοκῶν αὐθαίρετόν σε παραγενέσθαι πρὸς ἡμᾶς, καὶ τῶν καμάτων αἰτεῖν θεραπείαν· ὅμως ἐπειδὴ ἴσως ὁ φόβος τὴν προαίρεσιν τῆς σῆς προθέσεως ἐνεπόδιζε, διὰ τοῦτο δωρεᾶς πληρέστατα γράμματα πρὸς τὴν σὴν στερρότητα διεπεμψάμεθα, ἵνα ἀφόβως ταῖς ἡμετέραις προσόψεσι ταχεῖαν τὴν σαυτοῦ παρουσίαν παρασχεῖν σπουδάσῃς, ὑπὲρ τοῦ τῆς σαυτοῦ ἐπιθυμίας ἀπολαύσας, καί, πειραθεὶς ἡμῶν τῆς φιλανθρωπίας, τοῖς ἰδίοις ἀποκατασταθῇς ...» Ἡ ἐπιστολὴ αὕτη οὐκ ἠδυνήθη ἀπαλλάξαι τὸν Ἀθανάσιον τοῦ φόβου· διὸ ἔκρινεν ἀναγκαῖον μεταβῆναι πρὸς τὸν Κώνσταντα. Ὁ Κωνστάντιος ἔγραψεν αὐτῷ δύο ἔτι ἐπιστολάς. Λαβὼν τὰς ἐπιστολὰς ταύτας ὁ θεῖος Πατὴρ ἐν Ἀκυληΐᾳ, ἔνθα διέμενεν, ἀνῆλθεν εἰς Ῥώμην ἀσπασόμενος τὴν ἐκεῖ ἐκκλησίαν καὶ τὸν ἐπίσκοπον αὐτῆς Ἰούλιον. Μετ' ἄκρας χαρᾶς εἶδεν ἡ Ἐκκλησία τῆς Ῥώμης τὸν πρόμαχον τῆς ἀληθείας, καὶ ὁ ἐπίσκοπος αὐτῆς ἔγραψε τοῖς Ἀλεξανδρεῦσι συγχαρητήριον ἐπιστολήν. Ὁ Κωνστάντιος ὑπεδέξατο ἐν Ἀντιοχείᾳ μετὰ πολλῆς εὐμενείας τὸν Ἀθανάσιον. Προὔτρεψε δ' αὐτὸν παραχωρῆσαι τοῖς Ἀρειανοῖς μίαν τῶν πολυαρίθμων ἐκκλησιῶν τῆς Ἀλεξανδρείας τῶν ἀνηκουσῶν τοῖς ὀρθοδόξοις. Πρὸς τὴν πρότασιν ταύτην ὑπαπήντησε γοργῶς καὶ λέγει: «Ὦ βασιλεῦ, ἐπ' ἐξουσίας μὲν ἔχεις κελεύειν τε καὶ πράττειν ὅσα ἂν θέλῃς. Χάριν δὲ καὶ αὐτὸς αἰτῶ καὶ δέομαι, δός μοι». Εἰπόντος δὲ τοῦ βασιλέως δοῦναι αὐτῷ ταύτην, παρεκάλεσεν, ἵνα καὶ οἱ Ἀρειανοὶ τῆς Ἀντιοχείας παραχωρήσωσι τοῖς ἐκεῖ ὀρθοδόξοις μίαν ἐκκλησίαν, διότι ἀπὸ τῆς ἐξώσεως τοῦ Εὐσταθίου ἐν τῇ πόλει ταύτῃ ὑπῆρχον μόνον ἀρειανοὶ ἐπίσκοποι, ἀφελόντες πάντα τοὺς μείναντας πιστούς. Ὁ μὲν Αὐτοκράτωρ εὗρε δικαίαν τὴν αἴτησιν τοῦ Ἀθανασίου, ἀλλ' οἱ Ἀρειανοὶ οὐ παρεδέξαντο ταύτην. «Οὕτω, λέγει ὁ Θεοδώρητος, τὸν Ἀθανάσιον θαυμάσας, ἀπέπεμψεν εἰς Ἀλεξάνδρειαν». Σ. Μ.

γήσατο αὐτῷ τὰ συμβαίνοντα, καὶ μετὰ τιμῆς ἐπέμφθη εἰς Ἀλεξάνδρειαν (1) [α].

Ὁ Ἀθανάσιος πέντε ἔτη περίπου μετὰ τοῦτο ἐποίμανεν ἐν εἰρήνῃ τὴν Ἐκκλησίαν αὐτοῦ, θεραπεύων τὰς ὑπὸ τῶν Ἀρειανῶν ἐπενεχθείσας αὐτῇ πληγάς[*]. Τῷ 351 περιέγραψεν ἐν τῷ ἀπολογητικῷ

(1) Ἀθαν. Ἀπολογ. κατὰ Ἀρειαν. σελ. 140. Ἀπολογ. πρὸς Κωνσταντῖνον σελ. 4. Ἱστορ. Ἀρειαν. σελ. 18, 22. Σωκρ. β'. 23.

[α] Ὁ ὀρθόδοξος τῆς Ἀλεξανδρείας λαὸς ὑπέστη πλεῖστα ὅσα δεινὰ διὰ τὴν εἰς τὴν ἀλήθειαν ἀφοσίωσιν αὐτοῦ· ἐστερήθη πρὸς τοῖς ἄλλοις τῆς ἀληθοῦς καὶ σωτηρίου διδασκαλίας, καὶ αἱ πεινῶσαι ψυχαὶ ἐπαύσαντο τρεφόμεναι ὑπὸ τῆς χάριτος τῶν μυστηρίων. Ἕκαστος τοίνυν δύναται εἰκάσαι ἡλίκην ᾐσθάνθη χαράν, ἰδὼν τὸν ἐκ τῆς ἐξορίας ἐπανελθόντα ἔνδοξον αὐτοῦ ποιμένα, ἐφ' ᾧ δικαίως ἐκαυχᾶτο. Ἡ ἐπάνοδος τοῦ Ἀθανασίου ὑπῆρξεν ἑορτὴ τοῦ ἐν τῷ Ἰησοῦ Χριστῷ ἡρωϊσμοῦ καὶ διὰ τὸν λαὸν καὶ διὰ τὸν ἐπίσκοπον. Ἰδοὺ πῶς αὐτὸς ὁ Ἀθανάσιος περιέγραψε τὴν διαγωγὴν τοῦ ποιμνίου αὐτοῦ: «Μεγάλη γοῦν ἦν εὐφροσύνη τῶν λαῶν ἐν ταῖς συνάξεσι, παροξυνόντων ἀλλήλους εἰς ἑορτήν. Πόσαι τῶν ἀγάμων, πρότερον οὖσαι πρὸς γάμον ἕτοιμοι, ἔμειναν παρθένοι τῷ Χριστῷ! πόσοι νεώτεροι βλέποντες ἑτέρους, τὸν μονήρη βίον ἠγάπησαν! πόσοι πατέρες προέτρεπον τέκνα! πόσοι δὲ καὶ παρὰ τέκνων ἠξιώθησαν, μὴ ἐμποδίζεσθαι τῆς ἐν Χριστῷ ἀσκήσεως! πόσαι γυναῖκες ἔπεισαν ἄνδρας, πόσαι δὲ παρ' ἀνδρῶν ἐπείσθησαν σχολάζειν τῇ προσευχῇ, ὡς εἶπεν ὁ Ἀπόστολος! πόσαι χῆραι, πόσοι δὲ καὶ ὀρφανοί, τὸ πρότερον γυμνῶντες καὶ γυμνοὶ τυγχάνοντες, ἐκ πολλῆς τῆς τῶν λαῶν προθυμίας, οὔτε λοιπὸν ἐπείνων, ἀλλὰ καὶ ἐνδεδυμένοι προήρχοντο! Καὶ ὅλως τοσαύτη ἦν ἅμιλλα περὶ ἀρετήν, ὡς ἑκάστην οἰκίαν, καὶ οἶκον ἕκαστον νομίζειν ἐκκλησίαν εἶναι, διὰ τὴν τῶν ἐνοικούντων φιλοκαλίαν τε καὶ τὴν πρὸς τὸν Θεὸν εὐχήν. Εἰρήνη τε ἦν ἐν ταῖς ἐκκλησίαις βαθεῖα καὶ θαυμαστή . . . .» (Ἱστορ. τῶν Ἀρειαν. πρὸς τοὺς μοναχ. §. 25. πρβ. Γρηγορ. τοῦ Ναζιανζ. εἰς τὸν μ. Ἀθανάσιον ἀρχιεπ. Ἀλεξανδρ. §. 16—17). Τοιούτῳ τρόπῳ ὁ εὐσεβὴς τῆς Ἀλεξανδρείας λαὸς ἐδήλωσε τὴν χαρὰν αὐτοῦ ἐπὶ τῇ ἐπανόδῳ τοῦ ἱεροῦ αὐτοῦ Ποιμένος. Σ. Μ.

[*] Ἰδοὺ πῶς περιγράφει ὁ Θεολόγος Γρηγόριος τὴν διαγωγὴν τοῦ μ. Ἀθανασίου ἐν τῇ ἀποδοθείσῃ αὐτῷ ἐπαρχίᾳ: «Ἆρ' οὖν ἐβίω μέν, ὥσπερ εἰκὸς τοὺς λαοῦ τοσούτου προστησομένους; ἐδίδαξε δὲ οὐχ ὡς βεβίωκεν; ἠγώνισται δὲ οὐχ ὡς ἐδίδαξεν; ἐκινδύνευσε δὲ τῶν ὑπὲρ τοῦ Λόγου τινὸς

κατὰ Ἀρειανῶν τάς τε προτέρας καὶ τὰς νέας μηχανορραφίας τῶν Εὐσεβιανῶν κατ' αὐτοῦ τε καὶ τῆς ἀληθείας, στηρίζων τοὺς λόγους αὐτοῦ ἐπὶ ἐγγράφων ἀποδείξεων (¹).

Ἐν τῇ ἐπιστολῇ, ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος ἑωρακυῖα τὴν πανουργίαν τῶν περὶ Εὐσέβιον, ἐξέθετο πρεπόντως καὶ εὐσεβῶς κατὰ τῆς ἀρειανῆς αἱρέσεως τὰ ὁρισθέντα, τὸ ἐνεργὸν μέλος τῆς ἁγίας ταύτης Συνόδου ἐξέθηκε τὰς αἰτίας, δι' ἃς ἐτέθησαν ἐν τῷ Συμβόλῳ τῆς πίστεως αὐτῆς αἱ

ἠγωνισμένων ἐλάττω; τετίμηται δὲ ὧν ἠγώνισται μεῖον; κατῄσχυνε δέ τι τῶν τῆς εἰσόδου μετὰ τὴν εἴσοδον; οὐδαμῶς. Πάντα δὲ ἀλλήλων ἐχόμενα, ὥσπερ ἐν λύρᾳ μιᾷ, καὶ τῆς αὐτῆς ἁρμονίας, ὁ βίος, ὁ λόγος, οἱ ἀγῶνες, οἱ κίνδυνοι, τὰ τῆς ἐπανόδου, τὰ μετὰ τὴν ἐπάνοδον· Ὁμοῦ τε γὰρ τὴν Ἐκκλησίαν καταλαμβάνει, καὶ οὐ πάσχει ταὐτὸν τοῖς δι' ἀμετρίαν ὀργῆς τυφλώττουσι, καὶ ὅ,τι ἂν παραπέσῃ, τοῦτο πρῶτον περιωθοῦσι, κἄν τι τῶν φειδοῦς ἀξίων ὂν τύχοι, τοῦ θυμοῦ δυναστεύοντος, ἀλλὰ τοῦτον μάλιστα εὐδοκιμήσεως καιρὸν εἶναι νομίσας· ἐπειδὴ τὸ μὲν πάσχον κακῶς ἀεὶ μετριώτερον, τὸ δὲ ἐν ἐξουσίᾳ τοῦ ἀντιδρᾷν ἀκρατέστερον. Οὕτω πρᾴως καὶ ἠπίως τὸ τῶν λελυπηκότων μεταχειρίζεται, ὡς μηδὲ αὐτοῖς ἐκείνοις οἷόν τε τοῦτο εἰπεῖν, ἀηδῆ γενέσθαι τοῦ ἀνδρὸς τὴν ἐπάνοδον. Καθαιρεῖ μὲν γὰρ τὸ ἱερὸν τῶν θεοκαπήλων καὶ χριστεμπόρων, ἵνα καὶ τοῦτο τῶν Χριστοῦ μιμήσηται, πλὴν ὅσον οὐ φραγγελίῳ πλεκτῷ, λόγῳ δὲ πιθανῷ τοῦτο ἐργάζεται. Καταλλάττει δὲ τὸ στασιάζον πρός τε αὑτὸ καὶ ἑαυτόν, οὐδενὸς τῶν συναγόντων προσδεηθείς· λύει δὲ τοῖς ἠδικημένοις τὰς τυραννίδας, οὐδὲν διελὼν τοὺς τῆς αὐτοῦ μερίδος καὶ τῆς ἐναντίας· ἀνίστησι δὲ πεπτωκότα λόγον· παρρησιάζεται δὲ ἡ Τριὰς πάλιν ἐπὶ τὴν λυχνίαν τεθεῖσα, καὶ λαμπρῷ τῷ φωτὶ τῆς μιᾶς Θεότητος ταῖς πάντων ψυχαῖς ἀναστράπτουσα. Νομοθετεῖ δὲ τῇ οἰκουμένῃ πάλιν, ἐπιστρέφει δὲ πρὸς ἑαυτὸν πᾶσαν διάνοιαν· τοῖς μὲν ἐπιστέλλων, τοὺς δὲ διδάσκων, ἔστι δὲ οὓς καὶ ἀκλήτους προσιόντας σοφίζων, νόμον ἕνα προσθεὶς τὸ βούλεσθαι, καὶ γὰρ τοῦτο μόνον ἐξήρκει πρὸς ὁδηγίαν τοῦ κρείττονος. Ἐν κεφαλαίῳ δὲ εἰπεῖν, δύο λίθων μιμεῖται φύσεις ἐπαινουμένων. Γίγνεται γὰρ τοῖς μὲν παίουσιν ἀδάμας, τοῖς δὲ στασιάζουσι μαγνῆτις, ἀρρήτῳ φύσεως βίᾳ τὸν σίδηρον ἕλκουσα, καὶ τὸ στερρότατον ἐν ὕλαις οἰκειουμένη» (εἰς τὸν μέγαν Ἀθαν. Ἀρχιεπ. Ἀλεξανδρ. §. 18). Σ. Μ.

(¹) Τ. Ι. σελ. 186.

λέξεις οὐσία καὶ ὁμοούσιον, μὴ εὑρισκόμεναι ἐν τῇ ἁγίᾳ Γραφῇ, ὅπερ ἠρέθισε τοὺς Ἀρειανούς (¹).

Τῷ 353 ὁ Κωνστάντιος ἐγένετο Αὐτοκράτωρ τῆς τε Ἀνατολῆς καὶ τῆς Δύσεως,—καὶ τὰ τῆς Ἐκκλησίας ἔλαβον ἄλλην τροπήν[*].

(¹) Τ. Ι. σελ. 208. Ἐγράφη πρὸ τῆς ἀνανεώσεως τοῦ διωγμοῦ κατὰ τοῦ ἁγίου Ἀθανασίου ἐπὶ Κωνσταντίνου (σελ. 209). Τότε συνεγράφη καὶ τὸ σύγγραμμα «περὶ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας· ὅτι καὶ αὐτὸς κατὰ τῆς ἀρειανῆς αἱρέσεως ἐφρόνει, ὡς ἡ ἐν Νικαίᾳ σύνοδος· καὶ μάτην αὐτὸν συκοφαντοῦσιν οἱ Ἀρειομανῖται, ὡς ὁμόδοξον ἑαυτῶν» (Τ. Ι. 243).

[*] Οἱ Ἀρειανοί, οἵτινες μετὰ πολλοῦ ζήλου κατεδίκασαν ἐν Σιρμίῳ (τῷ 351) τὴν αἵρεσιν τοῦ Φωτεινοῦ, ἐσπούδασαν κατὰ τὸν αὐτὸν χρόνον ἀνανεῶσαι τὰς κατὰ τοῦ Ἀθανασίου ἀρχαίας αὐτῶν συκοφαντίας καὶ ἐπινοῆσαι νέας. Αἱ νέαι κατηγορίαι ἦσαν αἱ ἑξῆς: ὁ Ἀθανάσιος, ἔλεγον, συνετέλεσεν, ἵνα ὁ Κώνστας καὶ ὁ Κωνστάντιος γένωνται σχεδὸν φανεροὶ ἐχθροί· οὐκ ἐπαύετο διεγείρων τὸν πρῶτον κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἐμπνέων αὐτῷ κατὰ τούτου ἐχθρικώτατα αἰσθήματα· ἔσχε στενὰς σχέσεις πρὸς τὸν Μαγνέντιον· συνεχώρησεν, ἵνα γένηται ἐν μεγάλῃ τινὶ Ἐκκλησίᾳ τῆς Ἀλεξανδρείας, πρὶν ἢ ἐγκαινιασθῇ, σύναξις τῶν χριστιανῶν κατὰ τὴν ἡμέραν τοῦ Πάσχα· καὶ τέλος ἠρνήσατο ἐλθεῖν πρὸς τὸν Κωνσταντῖνον προσκαλεσάμενον αὐτόν. Αἰτήσει τοῦ Πάπα Λιβερίου συνεκροτήθη ἐν Ἀρελάτῃ (τῷ 354) σύνοδος. Ἐν τῇ συνόδῳ ταύτῃ οἱ μὲν Ὀρθόδοξοι ἀνθίστανται τῇ αἰτήσει τοῦ Κωνσταντίνου, ἵνα καταδικάσωσι τὸν Ἀθανάσιον· ἀλλὰ βιασθέντες ὑπὸ τοῦ ταπεινοῦ ὀργάνου τῶν Ἀρειανῶν Κωνσταντίου ὑπέγραψαν πάντες ἐκτὸς τοῦ μεγαλοψύχου ἐπισκόπου τῶν Τρηουήρων (Trèves) Παυλίνου, ὅστις ἐξορισθεὶς εἰς Φρυγίαν, μεταξὺ τῶν Μοντανιστῶν, μετά τινα ἔτη ἐτελεύτησεν ἐνταῦθα ἐκ τῆς λύπης καὶ τῆς δυστυχίας· Ἡ πτῶσις Βικεντίου τοῦ ἀπεσταλμένου τοῦ Πάπα, ἐνέπλησε τὸν ἐπάξιον τοῦ Ἰουλίου διάδοχον ἄκρας λύπης. Ἐσπούδασεν οὖν πάσαις δυνάμεσιν ἀπομακρῦναι ἀφ' ἑαυτοῦ τὴν ὑπόνοιαν, ὅτι ὁ ἀπεσταλμένος αὐτοῦ προσηνέχθη ἐν τῇ συνόδῳ ταύτῃ συνῳδὰ ταῖς ὑπ' αὐτοῦ δοθείσαις διαταγαῖς. Τῇ σπουδῇ καὶ ἐπιμελείᾳ αὐτοῦ συνεκροτήθη νέα Σύνοδος ἐν Μεδιολάνοις κατὰ τὸ ἑπόμενον ἔτος (τῷ 355). Περατωθεισῶν πασῶν τῶν παρασκευῶν, οἱ Ἀρειανοὶ ᾐτήσαντο τὴν καταδίκην τοῦ Ἀθανασίου. Οἱ ὀρθόδοξοι τοὐναντίον ἐπέμενον, ἵνα πρὸ παντὸς ἄλλου ὑπο-

Οἱ Εὐσεβιανοὶ ἔπεισαν τὸν Αὐτοκράτορα, ἵνα τῷ 353 αἰτήσηται παρὰ συνόδου τὴν καθαίρεσιν τοῦ Ἀθανασίου καὶ τὴν ἐπικύρωσιν τοῦ ἀρειανοῦ συμβόλου τῆς πίστεως· οἱ ἐπίσκοποι, ὁ εἷς μετὰ τὸν ἄλλον ἐξωρίζοντο, ἀλλ' οὐκ ἠβούλοντο ὑπογράψαι τὴν καταδίκην τοῦ ἀθώου προμάχου τῆς ἀληθείας τοῦ Χριστοῦ. Τῷ 356 ὁ Κωνστάν-

---

γραφῇ τὸ Σύμβολον τῆς Νικαίας, ἅτε εἰδότες ὅτι ὑπάρχουσι πολλοὶ ἐν τῇ Συνόδῳ, ὧν ἡ πίστις ἦν ὕποπτος, καὶ οἵτινες ἐπομένως οὐκ ἠδύναντο εἶναι κριταί. Διονύσιος ὁ Μεδιολάνων ἔλαβεν ἐν χερσὶ χάρτην, ἵνα συλλέξῃ τὰς ὑπογραφάς, ἀλλ' Οὐάλης ὁ ἐπίσκοπος Μούρσων ἔσχισεν αὐτόν. Τὸ σύμβουλον τοίνυν τῆς Νικαίας οὐχ ὑπεγράφη. Μέγας θόρυβος διὰ τοῦτο διεδόθη ἀνὰ πᾶσαν τὴν πόλιν. Μαθὼν ὁ εὐσεβὴς τῶν Μεδιολάνων λαός, ὅτι ἡ ἁγία αὐτοῦ πίστις ἦν ἐν κινδύνῳ, ἐταράχθη, αἱ δὲ συνεδριάσεις τῆς Συνόδου πρὸς ἀσφάλειαν τῶν μελῶν αὐτῆς ἐγίγνοντο οὐχὶ ἐν τῷ ναῷ, κατὰ τὴν συνήθειαν, ἀλλ' ἐν τοῖς ἀνακτόροις. Τὸ κύριον μέλημα τοῦ κούφου Αὐτοκράτορος ἦν ἡ καθαίρεσις τοῦ Ἀθανασίου· πρὸς τοῦτο ἐχρήσατο πᾶσι τοῖς θεμιτοῖς καὶ ἀθεμίτοις μέσοις· οἱ πλεῖστοι τῶν παρόντων ἐπισκόπων βιασθέντες ὑπ' αὐτοῦ, ὑπέγραψαν τὴν καταδίκην τοῦ ἱεροῦ Ἀθανασίου καὶ ἐκοινώνησαν τοῖς περὶ τὸν Ἄρειον αἱρετικοῖς. Οἱ ἀρνηθέντες ὑπογράψαι ἐξωρίσθησαν. Εἷς τῶν ἀπεσταλμένων τοῦ Πάπα, ὁ διάκονος Ἱλάριος, ᾐκίσθη πληγαῖς ὑπὸ τοῦ Οὐάλεντος, τοῦ Οὐρσακίου καί τινων εὐνούχων. Λουκίφερ, ὁ Καράλων, πρωτευούσης πόλεως τῆς Σαρδινίας ἐπίσκοπος, ἐξωρίσθη εἰς Γερμανίκειαν τῆς Συρίας, ἔπειτα εἰς Ἐλευθερόπολιν τῆς Παλαιστίνης, καὶ ἐκεῖθεν εἰς Θηβαΐδα τῆς Αἰγύπτου· Εὐσέβιος, ὁ ἐπίσκοπος Οὐαρκέλλων τῆς Ἰταλίας, ἐξωρίσθη εἰς Σκυθόπολιν· Διονύσιος, ὁ Μεδιολάνων ἐπίσκοπος, εἰς Καππαδοκίαν, ἔνθα καὶ ἐτελεύτησε. Τὰς θέσεις τῶν ὀρθοδόξων ἐπισκόπων κατέλαβον οἱ Ἀρειανοί. Ὁ Πάπας Λιβέριος προέβλεπεν ἤδη τὴν περιμένουσαν αὐτὸν τύχην, ὅτε ἔγραψε παραμυθητικὴν ἐπιστολὴν τοῖς ἐξορισθεῖσι. Πρὸς τὸν εὐσταθῆ τοῦτον ἄνδρα ἔπεμψεν ὁ Κωνστάντιος τὸν πρῶτον εὐνοῦχον τῆς αὐλῆς, ἵνα πείσῃ αὐτὸν εἴτε διὰ δώρων, εἴτε δι' ἀπειλῶν, ὑπογράψαι τὴν καθαίρεσιν τοῦ Ἀθανασίου καὶ κοινωνῆσαι τοῖς Ἀρειανεῖς. Μετὰ θαυμαστῆς παρρησίας ἀπεκρίνατο ὁ Λιβέριος τῷ ἀπεσταλμένῳ τοῦ Αὐτοκράτορος, καὶ κατέδειξεν αὐτῷ τὴν εἰς τὴν ἀλήθειαν σταθερότητα αὐτοῦ. Ἀπαχθεὶς μετὰ ταῦτα ἐνώπιον τοῦ Αὐτοκράτορος, καὶ ἐν μακρῷ διαλόγῳ γενναίως πρὸς αὐτὸν ἀντειπὼν (Θεοδώρ. ἐκκλ. ἱστορ. β'. 16), ἐξωρίσθη εἰς Βέρροιαν τῆς Θράκης. Σ. Μ.

τιος διέταξεν ἀναβιβάσαι δι᾿ ἐνόπλου δυνάμεως τὸν ἡμιεθνικὸν Γεώργιον ἐπὶ τὸν θρόνον τῆς Ἀλεξανδρείας,—καὶ ἡ πόλις αὕτη ἐποτίσθη αἵματι. Ὁ Ἀθανάσιος, ὑπὸ τοῦ Θεοῦ φυλαχθείς, ἐσώθη καὶ πάλιν, ἀποχωρήσας εἰς τὴν ἔρημον τῆς Αἰγύπτου [α]. Ὁ ἀρειανισμὸς ἀπ-

[α] Μαθὼν ὁ Ἀθανάσιος τὰ ἐν τῇ συνόδῳ τῶν Μεδιολάνων ψηφισθέντα, ἔπεμψε πρὸς τὸν βασιλέα πέντε ἐπισκόπους, ὧν εἷς ἦν Σεραπίων ὁ Θμούεως ἐπίσκοπος, ἀνὴρ ἁγιώτατος καὶ λόγιος, καὶ τρεῖς πρεσβυτέρους, ἀπολογησομένους ὑπὲρ αὐτοῦ. Πεισθεὶς ὁ εὔπιστος Αὐτοκράτωρ ὑπὸ τῶν Ἀρειανῶν εἰπόντων αὐτῷ, ὅτι ὁ Ἀθανάσιος ἐπιθυμεῖ μεταβῆναι εἰς Ἰταλίαν, ἔπεμψε Παλατινόν τινα, ὀνόματι Μοντάνον, ἐπιτρέψοντα αὐτῷ τὴν ἐξ Ἀλεξανδρείας ἀναχώρησιν. Ἐπειδὴ δὲ οὐδὲν τοιοῦτον ᾐτήσατο, καὶ ὁ Αὐτοκράτωρ οὐ διέτασσεν αὐτῷ ἀπελθεῖν ἐξ Ἀλεξανδρείας, ἀλλὰ μόνον ἐδίδου αὐτῷ ἄδειαν ἀποδημίας, ἔγνω μὴ καταλιπεῖν τὸ ποίμνιον αὐτοῦ. Οἱ νοτάριοι Διογένιος καὶ Ἱλάριος ἐπέμφθησαν εἰς Ἀλεξάνδρειαν, καὶ πολλοὶ ἄλλοι παλατινοί, κομίζοντες πρὸς τὸν στρατηλάτην Συριανὸν καὶ τὸν ὑπ' αὐτὸν στρατὸν γράμματα, δι' ὧν προὐτρέποντο ἐκπληρῶσαι ἀκριβῶς τὸ καθῆκον αὐτῶν. Ὁ Συριανὸς διέταξε τὸν Ἀθανάσιον καταλιπεῖν τὴν πόλιν· ἀλλ' οὗτος ἐδήλωσεν, ὅτι ἦν ἕτοιμος ὑπακοῦσαι ἅμα ἰδὼν τὴν Αὐτοκρατορικὴν διαταγήν. Ἐπειδὴ ἠρνήθησαν αὐτῷ τοῦτο, παρεκάλεσε τὸν Συριανὸν δοῦναι αὐτῷ τοὐλάχιστον ἐγγράφως τὸ περιεχόμενον τῶν δοθεισῶν αὐτῷ διαταγῶν. Ὁ λαός, ὁ κλῆρος, οἱ τὰ μάλιστα διαπρεπεῖς κάτοικοι τῆς πόλεως ἱκέτευον ὑπὲρ τοῦ Ἀθανασίου· πάντες ᾔτουν ἰδεῖν τὰς ἐπιστολὰς τοῦ Αὐτοκράτορος, ἤ, εἰ τοῦτο ἦν ἀδύνατον, ἀναβληθῆναι τὴν ἐκτέλεσιν τῶν ἐν αὐταῖς διαταγῶν, ἕως ἂν πέμψωσι τῷ Αὐτοκράτορι πρεσβείαν. Τοιούτῳ τρόπῳ ἡ πρώτη θύελλα παρῆλθεν. Ἅπαντες ἐχάρησαν, καὶ ἡ διαταραχθεῖσα ἡσυχία ἐπανῆλθεν ἐν Ἀλεξανδρείᾳ. Ἀλλ' αὕτη διήρκεσεν μόνον ἐπὶ εἴκοσιν ἡμέρας. Τῇ θ'. Φεβρουαρίου (τῷ 356), τελουμένης παννυχίδος ἐν τῷ τοῦ ἁγίου Θεωνᾶ ναῷ, αἴφνης περὶ τὸ μεσονύκτιον περιεκυκλώθη ὁ ναὸς ὑπὸ πέντε χιλιάδων στρατιωτῶν ὁδηγουμένων ὑπὸ τοῦ Συριανοῦ. Ὁ σκοπὸς αὐτῶν ἦν κυρίως κωλῦσαι τὴν ἔξοδον τοῦ Ἀθανασίου. Εἰσῆλθον ἔνοπλοι. Ὁ δὲ Πατριάρχης διέταξε τὸν Διάκονον ἀναγινώσκειν τὸν ρλέ. ψαλμόν, καὶ τὸν λαὸν ἐκφωνεῖν τὸν στίχον, ὅτι εἰς αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἀλλ' ἡ σάλπιγξ ἤχησε· βέλη ἵπταντο ἐν τῷ μέσῳ τῶν πιστῶν· ξίφη ἐγυμνώσθησαν. Προβαινόντων δὲ τῶν στρατιωτῶν μέχρι τοῦ ἱεροῦ, ἐκκλησιαστικοί τινὲς καὶ μοναχοὶ ἀνήρπασαν αὐτόν, καὶ οὕτω διέφυγε τοὺς περι-

εκαλύφθη τότε ἐν πάσῃ αὐτοῦ τῇ γυμνότητι. Ὁ διωγμὸς ταχέως διεδόθη ἐκ τῆς Ἀλεξανδρείας ἀνὰ πᾶσαν τὴν Αὐτοκρατορίαν. Ὁ δὲ Ἀθανάσιος κρυπτόμενος ὁτὲ μὲν ἐν ταύτῃ, ὁτὲ δὲ ἐν ἐκείνῃ τῇ ἐρήμῳ, ᾐσθάνετο, ὅτι νῦν ἔτι μᾶλλον, ἢ πρότερον, ἀπέκειτο αὐτῷ ἐνεργεῖν ἀκαμάτως. Ἐντεῦθεν ἐξέδωκε συγγράμματά τινα ὑπὲρ τῆς καταδιωκομένης ἀληθείας. Πρότερον πάντων ἔγραψε (τῷ 356) τὴν ἀπολογίαν πρὸς τὸν Κωνστάντιον, τὸν ἀπολογητικὸν κατὰ Ἀρειανῶν, καὶ τὴν ἐγκύκλιον ἐπιστολὴν πρὸς τοὺς ἐπισκόπους Αἰγύπτου καὶ Λιβύης. Μετὰ δὲ ταῦτα (τῷ 357) ἔγραψε τὴν ἀπολογίαν περὶ τῆς φυγῆς αὐτοῦ· τῷ 358 τὴν ἐπιστολὴν πρὸς Σεραπίωνα περὶ τοῦ θανάτου τοῦ Ἀρείου· τὴν ἐπιστολὴν πρὸς τοὺς μοναχοὺς μετὰ τῆς Ἱστορίας τῶν Ἀρειανῶν, τοὺς τέσσαρας λόγους κατὰ τῶν Ἀρειανῶν, καὶ τῷ 359 τὸ σύγγραμμα περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας καὶ ἐν Σελευκίᾳ τῆς Ἰσαυρίας Συνόδων. Ὁ Ἀθανάσιος καὶ ἐν τῇ ἀγρίᾳ ἐρήμῳ εὑρισκόμενος, ἀκαμάτως ἐφρόντιζε μανθάνειν πάντα παρὰ τῶν φίλων αὐτοῦ. Τῷ 360 ἔγραψε τὰς τέσσαρας ἐπιστολὰς πρὸς Σεραπίωνα περὶ τῆς θεότητος τοῦ ἁγίου Πνεύματος, ἣν τινες τῶν Ἀρειανῶν ἠρνοῦντο φανερῶς. Καίπερ δὲ καταδικασθέντα εἰς θάνατον ὁ Κύριος ἐφύλαξεν αὐτὸν ὑπὲρ τῆς Ἐκκλησίας ([1]).

φρουροῦντας στρατιώτας (Ἀθαν. ἀπολογ. περὶ τῆς φυγῆς αὐτοῦ. Τ. Α΄. σελ. 717). Σκληρὸς κατὰ τῶν ὀρθοδόξων ἠγέρθη διωγμός· φρικταὶ ἀσέβειαι διεπράχθησαν. Οἱ Ἀρειανοὶ ἔπεμψαν εἰς Ἀλεξάνδρειαν νέον ἐπίσκοπον Γεώργιον καλούμενον, οὗ ἡ ὠμότης ἐπηύξησε τὰ δεινὰ τῶν ὀπαδῶν τῆς ἀληθείας. Αὐστηρόταται διαταγαὶ ἐδόθησαν τῇ τε γερουσίᾳ καὶ τῷ λαῷ ζητῆσαι πανταχοῦ τὸν Ἀθανάσιον καὶ παραδοῦναι αὐτόν. Ὁ διωγμὸς ἐξηπλώθη ἐκ τῆς Ἀλεξανδρείας ἀνὰ πᾶσαν τὴν Αἴγυπτον. Ὁ Κωνστάντιος διέταξεν, ἵνα τοὺς ἐπισκοπικοὺς θρόνους κατέχωσι μόνον οἱ παραδεχόμενοι τὴν νέαν τάξιν τῶν πραγμάτων. Σ. Μ.

([1]) Ἀθαν. ἱστορ. Ἀρειαν. §. 24--40-8. Περὶ τῆς φυγῆς αὐτοῦ §. 24, καὶ ἄλλα συγγράμματα τούτου τοῦ χρόνου. Θεοδώρ. ἐκκλ. ἱστορ. β΄. 12-14, 16. Σουλτ. Σευῆρ. β΄. 43. Ἀμμων. ἐπ. πρὸς θεόφ. τὸν Ἀλεξανδρ.—

Τῷ 361 ὁ Ἰουλιανὸς ἐπανήγαγε πάντας τοὺς ἐξορισθέντας ἐπισκόπους εἰς τὰς ἑαυτῶν θέσεις, ἐν οἷς καὶ τοὺς αἱρετικούς [*]. Ὁ Ἀθανάσιος ἐνόησε τὸν Ἰουλιανόν, καὶ ἐπανελθὼν εἰς τὸν θρόνον αὐτοῦ τῷ 362 ἐσπούδασεν ἐν συνόδῳ παντὶ σθένει καταπραΰναι τὰς μεταξὺ τῶν χριστιανῶν διαφωνίας (¹) [α]. Ὁ Ἰουλιανὸς εἶδεν, ὅτι ἡ πονηρία αὐτοῦ κατενοήθη ὑπὸ τοῦ Ἀθανασίου (²). Ἔτι δὲ μᾶλλον εἶδεν, ὅτι τῷ ἰσχυρῷ τοῦ Ἀθανασίου λόγῳ ὑπετάσσοντο καὶ οἱ ἐθνικοὶ τῇ πίστει τοῦ Χριστοῦ [6]. Διὸ διέταξε τὸν ἔπαρχον τῶν Αἰγυπτί-

(*) Ἀποθανόντος τοῦ Κωνσταντίου, κατέπεσεν ὁ ἐξωτερικὸς στῦλος τοῦ ἀρειανισμοῦ· διότι ὁ Ἰουλιανὸς οὔτε τοῖς ὀρθοδόξοις, οὔτε τοῖς Ἀρειανοῖς εὐνόει. Οἱ τελευταῖοι μὴ ὑποστηριζόμενοι ὑπὸ τῆς κυβερνήσεως ἔμελλον ἀναγκαίως καταπεσεῖν, διότι οὐκ ἠρείδοντο ἐπὶ τῆς παραδόσεως, ἢ ἐπὶ τοῦ πνεύματος τοῦ Χριστιανισμοῦ. Ἐπιτρέψας ὁ Ἰουλιανὸς τὴν ἐπάνοδον τῶν ἐπισκόπων, οὐ προὐτίθετο ἐπανορθῶσαι διὰ τούτου τὴν καθολικὴν Ἐκκλησίαν, ἀλλὰ μᾶλλον αὐξῆσαι τὰς διαιρέσεις τῶν Χριστιανῶν. Τότε ἐπανῆλθε καὶ ὁ Ἀθανάσιος εἰς Ἀλεξάνδρειαν, ἧς ὁ θρόνος ἐχήρευε, τοῦ ἐθνικοῦ λαοῦ ἀποκτείναντος τὸν διὰ τῆς βίας ἀποκατασταθέντα ἀρειανὸν ἐπίσκοπον Γεώργιον. Σ. Μ.

(¹) Μετὰ τὴν σύνοδον ταύτην ἐγράφη ἡ πρὸς Ἀντιοχεῖς ἐπιστολή.

[α] «Συνεκάλεσε δὲ καὶ Σύνοδον, λέγει ὁ σοφὸς Κοντογόνης, πρῶτον μέν, ἵνα κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν ὁμοούσιον ἀνακηρύξῃ τὴν ἁγίαν Τριάδα καὶ σαφέστερον ὁρίσῃ τήν τε σημασίαν καὶ χρῆσιν τῆς ὑποστάσεως καὶ οὐσίας· ἔπειτα, ἵνα κανονίσῃ τὸν τρόπον, ὃν ὤφειλε νὰ μεταχειρισθῇ ἐπὶ τῆς παραδοχῆς τῶν ἀρειανῶν ἐπισκόπων, ὅσοι προηροῦντο νὰ ἐπανακάμψωσιν εἰς τὴν τῆς καθολικῆς Ἐκκλησίας κοινωνίαν· καὶ τρίτον, ἵνα ἐξομαλίσῃ διαφορὰς τινάς, ἐπικρατούσας τότε ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀντιοχείας» (Ἐκκλ. ἱστορ. Τ. Ά. σελ. 542). Σ. Μ.

(²) Γρηγορ. Ναζιανζ. εἰς τὸν μέγαν Ἀθανάσ. Ἀρχ. Ἀλεξανδρ.

[6] Οἱ ἐθνικοί, λέγει ὁ Σωκράτης, «σκευωρίαν ποιησάμενοι, γνωρίζουσι βασιλεῖ, ὡς λυμαίνοιτο τὴν πόλιν καὶ πᾶσαν τὴν Αἴγυπτον, καὶ δεῖν αὐτὸν ἀπαλάττειν τῆς πόλεως;» (ἐκκλ. ἱστορ. γ΄. 13). Μαθὼν ταῦτα ὁ Ἰουλιανὸς ἔγραψε πρὸς τοὺς Ἀλεξανδρεῖς, ὅτι προστάγμασι πολλῶν αὐτοκρατόρων ὑπερόριος γενόμενος, ὤφειλεν ἐπανελθεῖν μετὰ τὴν ἔκδοσιν ἑτέρου νέου, καὶ ὅτι τοῖς ὑπὸ τοῦ Κωνσταντίνου ἐξορισθεῖσι Γαλιλαίοις ἐπέτρεψε τὴν εἰς τὰς πατρίδας αὐ-

ων Ἐκδίκιον καταδιῶξαι τὸν Ἀθανάσιον πανταχοῦ, ἔνθα μόνον δυνατόν. «Τῇ αὐτοῦ χειρὶ πάνυ με λυπεῖ τὸ καταφρονεῖσθαι τοὺς θεοὺς πάντας», ἔγραψεν ὁ Ἰουλιανὸς ἐν τῇ κατὰ τοῦ Ἀθανασίου καταδίκῃ, καὶ οὐδὲν κάλλιον ὁ Ἀποστάτης ἠδύνατο εἰπεῖν πρὸς τιμὴν τοῦ Ἀθανασίου ([1]), ὅστις ἀναχωρῶν ἐκ τῆς Αἰγύπτου εἶπε: «θαρρεῖτε· νεφύδριον γάρ ἐστι, καὶ θᾶττον παρελεύσεται» ([2]) [α].

Τῷ 363 ὁ Αὐτοκράτωρ Ἰοβιανὸς ἡγήσατο πρῶτον αὐτοῦ καθῆκον προσκαλέσαι διὰ φιλοφρονητικῆς ἐπιστολῆς τὸν Ἀθανάσιον, ἵνα ἀναλάβῃ τὴν διοίκησιν τῆς Ἐκκλησίας [*]. Πρὸς τὸν Ἰοβια-

---

τῶν ἐπάνοδον, ἀλλ' οὐ τὴν εἰς τὰς Ἐκκλησίας· προσέτασσε δὲ τῷ Ἀθανασίῳ ἐξελθεῖν τῆς πόλεως, ἐξ ἧς ἂν ἡμέρας δέξηται τὰ γράμματα αὐτοῦ (Ἰουλιαν. αὐτοκράτ. ἐπ. κς΄.). Ὁ Εὐσεβὴς τῆς Ἀλεξανδρείας λαὸς παρεκάλεσε τὸν ἀσεβῆ Αὐτοκράτορα μὴ ἐκπληρῶσαι τὴν ἀπόφασιν αὐτοῦ· οὗτος δὲ παροξυνθεὶς ἐκ τούτου, διέταξε τῷ ἐπάρχῳ Ἐκδικίῳ ἐξορίσαι τὸν θεῖον ποιμένα οὐ μόνον ἐκ τῆς Ἀλεξανδρείας, ἀλλὰ καὶ ἐκ πάσης τῆς Αἰγύπτου (Ἰουλ. αὐτοκρ. ἐπ. ς΄.). Σ. Μ.

([1]) Ἐπιστ. Ἰουλ. ς΄. fol. 376. ἐπ. 51. ἴδ. Σωκρ. γ΄. ιγ΄. Θεοδώρ. γ΄. 9.

([2]) Σωκρ. γ΄. 14. Σωζομ. έ. 15.

[α] «Ταῦτα εἰπών, λέγει ὁ Σωκράτης, εὐθὺς ὡς εἶχε, πλοίῳ διὰ τοῦ Νείλου εἰς τὴν Αἴγυπτον ἔφυγεν. Ἐδίωκον δὲ κατόπιν οἱ συλλαβεῖν αὐτὸν σπεύδοντες. Ἐπειδὴ δὲ οὐ πόρρωθεν εἶναι ἐπύθετο τοὺς διώκοντας, οἱ μὲν συνόντες, ὡς ἐπὶ τὴν ἔρημον αὖθις φεύγειν ἐκέλευον· ὁ δέ, σοφῇ γνώμῃ χρησάμενος, διέφυγε τοὺς διώκοντας. Τοῖς γὰρ διώκουσιν, ἐξυποστρέψαντας, ἀπαντᾷν συνεβούλευε. Καὶ τοῦτο ᾗ τάχος ἐγίνετο. Ἐπεὶ δὲ πλησίον τῶν διωκόντων οἱ πρὸ μικροῦ φεύγοντες ἦσαν, οὐδὲν οἱ ζητοῦντες ἠρώτων τοὺς περὶ Ἀθανάσιον, ἤ που Ἀθανάσιον τεθέανται. Οἱ δὲ ἐγγὺς αὐτοῦ που εἶναι ἐμήνυον· καὶ εἰ ἐπισπεύσοιεν, οὐκ εἰς μακρὰν αὐτὸν καταλήψεσθαι ἔλεγον. Καὶ οὕτως οἱ μὲν παρατραπέντες, συντόνως μάτην ἐδίωκον. Ὁ δὲ διαφυγών, τὴν Ἀλεξάνδρειαν λαθραίως κατέλαβε. Καὶ ἐκεῖ λανθάνων διῆγεν, ἕως οὗ ὁ διωγμὸς ἐπαύσατο» (ἐκκλ. ἱστορ. γ΄. 14). Σ. Μ.—

[*] Ἰδοὺ ἡ ἐπιστολή, ἣν ἔγραψεν ὁ εὐσεβὴς Αὐτοκράτωρ πρὸς τὸν θεῖον Διδάσκαλον:

«Τῷ θεοφιλεστάτῳ καὶ φίλῳ τοῦ Θεοῦ Ἀθανασίῳ Ἰοβιανός.

» Τοῦ ἐπιεικεστάτου σου βίου, καὶ » τῆς πρὸς τὸν Θεὸν τῶν ὅλων ὁμοι» ώσεως, καὶ τῆς πρὸς τὸν Σωτῆρα » ἡμῶν τὸν Χριστὸν διαθέσεως τὰ

νὸν ἔπεμψεν ὁ Ἀθανάσιος συνοδικὴν ἐπιστολὴν περὶ πίστεως(1)[α].

Μετὰ τῆς ἐπὶ τὸν θρόνον τῆς Ἀνατολῆς ἀναβάσεως τοῦ Οὐάλεντος (τῷ 364) ἐπῆλθον πάλιν τῇ Ἐκκλησίᾳ οἱ δυστυχεῖς χρόνοι τοῦ Κωνσταντίου πολλῷ σφοδρότεροι [β]. Ὁ Ἀθανάσιος ἔγραψε

» κατορθώματα ὑπερθαυμάζοντες, » ἀποδεχόμεθά σε, ἐπίσκοπε τιμιώ- » τατε· καὶ ὅτι μὲν πάντα πόνον, » καὶ τῶν διωκόντων τὸν φόβον οὐ » κατέπτηξας, καὶ κινδύνους καὶ ξί- » φους ἀπειλάς, ὡς σκύβαλα ἡγησά- » μενος, τῆς φίλης σοι ὀρθοδόξου » πίστεως τοὺς οἴακας κατέχων, ἕως » τοῦ νῦν ὑπὲρ τῆς ἀληθείας ἀγωνί- » ζῃ, ὑπογραμμὸν δὲ τῷ λαῷ παντὶ » τῶν πιστῶν, καὶ τύπον σεαυτὸν » τῆς ἀρετῆς προσφερόμενος διατε- » λεῖς. Ἀνακτᾶταί σε τοίνυν ἡ ἡμε- » τέρα βασιλεία, καὶ ἐπανελθεῖν βού- » λεται πρὸς τὴν τῆς σωτηρίας δι- » δασκαλίαν. Ἐπάνιθι τοίνυν εἰς τὰς » ἁγίας Ἐκκλησίας, καὶ ποίμαινε τὸν » τοῦ Θεοῦ λαόν, καὶ τὰς ὑπὲρ τῆς » ἡμετέρας πραότητος προθύμως εὐ- » χὰς ἀναπέμπετε εἰς Θεόν. Οἴδα- » μεν γάρ, ὅτι τῇ σῇ οἰκεσίᾳ ἡ- » μεῖς τε καὶ οἱ σὺν ἡμῖν τὰ χριστια- » νῶν φρονοῦντες μεγάλην ἀντίληψιν » σχοίημεν παρὰ τοῦ ὑπερέχοντος » Θεοῦ ».

Ὁ Ἰοβιανὸς οὐκ ἠρκέσθη ταύτῃ μόνῃ τῇ ἐπιστολῇ· ἀλλ' ἐπιθυμῶν ἰδεῖν τὸν Ἀθανάσιον, προσεκάλεσεν αὐτὸν εἰς Ἀντιόχειαν, ἔνθα διέτριβεν, ἐπανελθὼν ἐκ Περσίας. Ἐκεῖ εὗρεν ἀρειανοὺς ἱερεῖς ἐλθόντας, ὅπως κατηγορήσωσιν αὐτοῦ ἔτι, ἀλλὰ σύναμα πολλοὺς πιστοὺς τοῦ ποιμνίου αὐτοῦ ἑτοίμους ὑπερασπίσαι αὐτόν. Μεταξὺ τῶν πρώτων ἦν Λούκιός τις, ὃς εἶχε τὴν ἐπιθυμίαν γενέσθαι ἐπίσκοπος Ἀλεξανδρείας. Σ. Μ.

(1) Ἀθαν. Τ. 2. σελ. 779, 984. Τ. 1. σελ. 2. 622.

[α] « Συγκαλέσας, λέγει ὁ σοφὸς Κοντογόνης, ὁ Ἀθανάσιος τοὺς ἐλλογιμωτέρους τῶν ἐπισκόπων, ἀντέγραψε πρὸς τὸν Αὐτοκράτορα τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν, παρακαλῶν νὰ φυλάττῃ αὐτὴν ἀκριβῶς ὡς συμφωνοῦσαν πρὸς τὰ ἀποστολικὰ δόγματα, ὡς ἐξ αἰῶνος κηρυττομένην, καὶ οὐχὶ μόνον τότε παρὰ τῶν ἐν τῇ οἰκουμενικῇ Συνόδῳ συνελθόντων Πατέρων ὁμολογηθεῖσαν, ἀλλὰ καὶ ὁμολογουμένην παρὰ πασῶν τῶν κατὰ τόπον ἐκκλησιῶν» (ἐκκλ. ἱστορ. Τ. Ά. 544). Σ. Μ.

[β] Ὁ Ἰοβιανὸς ἐτελεύτησεν αἴφνης τῷ 364, ἀγαθὴν καταλιπὼν μνήμην καὶ αὐτοῖς τοῖς ἐθνικοῖς. Ὁ διάδοχος αὐτοῦ Οὐαλεντινιανὸς ἐγένετο Αὐτοκράτωρ τῆς Δύσεως, καταλιπὼν τὴν κυβέρνησιν τῆς Ἀνατολῆς τῷ ἀδελφῷ αὐτοῦ Οὐάλεντι. Ὁ μὲν πρῶτος ὡμολόγει τὸ τῆς Νικαίας σύμβολον ὁ δὲ δεύτερος ἦν ὀπαδὸς τῆς ἀρειανῆς αἱρέσεως. Παντὶ σθένει ἐσπούδασεν ὁ ἀσεβὴς Οὐάλης στηρίξαι τὸν

(τῷ 365) δύο συγγράμματα—τὸ μὲν ἓν περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου, καὶ κατὰ Ἀρειανῶν, τὸ δὲ ἕτερον de Trinitate et Spiritu Sancto (¹). Τῷ 367 διέταξεν ὁ Οὐάλης, ὅπως καταδιωχθῶσι πάντες οἱ ἐπίσκοποι οἱ ὑπὸ τοῦ Ἰουλιανοῦ ἀνακληθέντες. Πέμπτον ἤδη ἀπέκειτο τῷ Ἀθανασίῳ ἀποχωρισθῆναι τοῦ πιστοῦ αὐτοῦ ποιμνίου, ὅπερ ἔγνω ὑπερασπίσαι αὐτὸν βίᾳ· ἀλλ' ὁ ποιμήν, ὁ παντὶ καθήκοντι πιστός, αὐτὸς ἀπῆλθεν ἐκ τῆς Ἀλεξανδρείας. Λαβὼν ὁ Οὐάλης παρὰ τοῦ ἐπάρχου τὴν ἀγγελίαν τῆς διαθέσεως τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας, πρὸς ἔκπληξιν πάντων, διὰ γραμμάτων ἐσήμανεν «ἀδεῶς κρατεῖν τῶν ἐκκλησιῶν Ἀθανάσιον» (²).

Ἄγων ἤδη τὸ ἑβδομηκοστὸν ἔτος τῆς ἡλικίας αὐτοῦ ἦν ὡς πατὴρ πάντων τῶν ἐπισκόπων, οἵτινες ἐσέβοντο τὴν θέλησιν αὐτοῦ ὡς τέκνα[*].

ἀρειανισμόν. Οἱ Ἀκακιανοί, οἳ ἐπὶ τοῦ Ἰοβιανοῦ ἐδέξαντο τὴν ὀρθοδοξίαν, ἐπ' αὐτοῦ ἐγένοντο πάλιν Ἀρειανοί· ἐξ ἐναντίας δέ, οἱ ἡμιαρειανοί, πανταχόθεν ἀπωθούμενοι, ἐδέξαντο ἐπί τινα χρόνον τὴν ὀρθοδοξίαν, καὶ ᾐτήσαντο ἔρεισμα ἐν τῇ Δύσει. Σ. Μ.

(¹) Τόμ. Α. σελ. 696, 773. Τὸ τελευταῖον διεσώθη μόνον ἐν τῇ ἀρχαίᾳ λατινικῇ μεταφράσει.

(²) Σωκ. δ'. 13. Σωζόμ. ς'. 12.

[*] Ὁ οὐρανοφάντωρ Βασίλειος, ὅστις ἀπὸ τοῦ 370 ἦν ἀρχιεπίσκοπος Καισαρείας τῆς ἐν Καππαδοκίᾳ, προσελιπάρει τὸν Ἀθανάσιον καὶ δι' ἐπιστολῶν καὶ διὰ πρεσβειῶν προνοήσασθαι περὶ τῆς Ἀνατολῆς, καὶ κατ' ἐξοχὴν περὶ τῆς Ἐκκλησίας τῆς Ἀντιοχείας. Αἱ πρὸς τὸν μέγιστον τῆς Ὀρθοδοξίας πρόμαχον ἐπιστολαὶ τοῦ φαεινοτάτου τῆς Ἐκκλησίας φωστῆρος ἄριστα δεικνῦσι τὴν τιμήν, ἧς ἀπήλαυεν ἐν τῇ Ἐκκλησίᾳ τότε ὁ Ἀθανάσιος. Ἰδοὺ τί λέγει ἐν τῇ ἐπιστολῇ, ἣν ἔπεμψεν αὐτῷ διὰ τοῦ ἱεροδιακόνου Δωροθέου: «Οὐδένα τοσούτων ἡγοῦμαι λυπῶν τὴν παροῦσαν τῶν ἐκκλησιῶν κατάστασιν, μᾶλλον δὲ σύγχυσιν, εἰπεῖν ἀληθέστερον, ὅσον τὴν σὴν τιμιότητα· συγκρίνοντα μὲν τοῖς ἀρχαίοις τανῦν, καὶ παρὰ πόσον ταῦτα ἐκείνων ἐξήλλακται λογιζόμενον, καὶ ὅτι εἰ κατὰ τὴν αὐτὴν ὁρμὴν ὑπορρέοι ἐπὶ τὸ χεῖρον τὰ πράγματα, οὐδὲν ἔσται τὸ κωλύον, εἴσω ὀλίγου χρόνου πρὸς ἄλλο τι σχῆμα παντελῶς μεθαρμοσθῆναι τὰς Ἐκκλησίας. . . Τίς οὖν ταῦτα διαπράξασθαι τῆς σῆς συνέσεως δυνατώτερος; Τίς συνιδεῖν τὸ δέον ὀξύτερος; τίς ἐνεργῆσαι τὰ χρήσιμα πρακτικώτερος; τίς πρὸς τὴν καταπόνησιν τῶν ἀδελφῶν συμπαθέστερος; τίς τῆς σεμνοτάτης σου πολιᾶς

Λαβὼν παρὰ Δαμάσου τοῦ Ῥώμης ἐπισκόπου τὰς ἀποφάσεις τῆς Συνόδου (τῷ 368) περὶ καθαιρέσεως ἀρειανῶν τινων ἐπισκόπων, συνεκρότησε καὶ αὐτὸς τῷ 369 σύνοδον, καὶ ἔπεμψε δύο ἐπιστολάς: μίαν μὲν πρὸς τοὺς ἐν Ἀφρικῇ ἐπισκόπους, ἑτέραν δὲ πρὸς τὸν Δάμασον. Ἐν μὲν τῇ πρώτῃ ἔψεγε τοὺς ἐκφαυλίσαντας τὴν σύνοδον τῆς Νικαίας, ἐν δὲ τῇ δευτέρᾳ ᾔτει τὴν καθαίρεσιν τοῦ Ἀρειανοῦ ἐπισκόπου τῶν Μεδιολάνων Αὐξεντίου. Ὁ Δάμασος ἐν Συνόδῳ συγκροτηθείσῃ τῷ 370 ἐξεπλήρωσε τὴν αἴτησιν τοῦ Ἀθανασίου, καὶ ἐν τῇ ἐπιστολῇ αὐτοῦ ἐπανέλαβε τὰς ἐπιστο-

---

πάσῃ τῇ Δύσει αἰδεσιμώτερος; Κατάλιπέ τι μνημόσυνον τῷ βίῳ τῆς σῆς ἐπάξιον πολιτείας, τιμιώτατε πάτερ. Τοὺς μυρίους ἐκείνους ὑπὲρ τῆς εὐσεβείας ἄθλους ἑνὶ τούτῳ κατακόσμησον ἔργῳ . . .» Ἀποστείλαντος τοῦ Ἀθανασίου πρὸς τὸν Βασίλειον τὸν πρεσβύτερον Πέτρον, οὗτος ἀνέπεμψεν εἰς Ἀλεξάνδρειαν τὸν αὐτὸν διάκονον Δωρόθεον, ἵνα στηριχθεὶς ταῖς συμβουλαῖς τοῦ Ἀθανασίου, ἀπέλθῃ εἰς Ῥώμην καὶ αἰτήσηται τὴν ἀναγκαίαν συνδρομήν. Δι' αὐτοῦ ἔπεμψε τῷ Ἀθανασίῳ τήν δε τὴν ἐπιστολήν: «Ἣν ἐκ παλαιοῦ περὶ τῆς σῆς τιμιότητος ὑπόληψιν ἔσχομεν, ταύτην ὁ χρόνος προϊὼν ἀεὶ βεβαιοῖ· μᾶλλον δὲ καὶ συναύξει ταῖς προσθήκαις τῶν κατὰ μέρος ἐπιγινομένων. Ὅτι τῶν μὲν ἄλλων τοῖς πλείστοις ἐξαρκεῖ τὸ καθ' ἑαυτὸν ἕκαστον περισκοπεῖν· σοὶ δὲ οὐχ ἱκανὸν τοῦτο, ἀλλ' ἡ μέριμνά σοι πασῶν τῶν Ἐκκλησιῶν τοσαύτη, ὅση καὶ τῆς ἰδίως παρὰ τοῦ κοινοῦ Δεσπότου ἡμῶν ἐμπιστευθείσης ἐπίκειται, ὅς γε οὐδένα χρόνον διαλείπεις διαλεγόμενος, νουθετῶν, ἐπιστέλλων, ἐκπέμπων τινὰς ἑκάστοτε τοὺς ὑποτιθεμένους τὰ βέλτιστα . . . . .» Ἐν ἄλλῃ ἔτι ἐπιστολῇ ἔγραψεν ὁ Βασίλειος τῷ Ἀθανασίῳ: «Ὅσον τῶν Ἐκκλησιῶν τὰ ἀρρωστήματα ἐπὶ τὸ μεῖζον πρόεισι, τοσοῦτον πάντες ἐπὶ τὴν σὴν ἐπιστρεφόμεθα τελειότητα, μίαν ἑαυτοῖς ὑπολείπεσθαι τῶν δεινῶν παραμυθίαν τὴν σὴν προστασίαν πεπιστευκότες· ὃς καὶ τῇ δυνάμει τῶν προσευχῶν, καὶ τῷ εἰδέναι τὰ βέλτιστα τοῖς πράγμασιν ὑποτίθεσθαι, διασώσασθαι ἡμᾶς ἐκ τοῦ φοβεροῦ τούτου χειμῶνος παρὰ πάντων ὁμοίως τῶν καὶ κατὰ μικρὸν ἢ ἀκοῇ, ἢ πείρᾳ γνωριζόντων τὴν τελειότητά σου πιστεύῃ . . .» Καὶ ἐν ταῖς ἄλλαις τοῦ Μ. Βασιλείου πρὸς τὸν Μ. Ἀθανάσιον ἐπιστολαῖς καταδείκνυται ἡ μεγίστη ὑπόληψις, ἧς δικαίως ἀπήλαυε παρὰ τοῖς ὀρθοδόξοις ὁ φωστὴρ τῆς Ἀλεξανδρείας καὶ τοῦ χριστιανισμοῦ καθόλου. Ἀείποτε ὁ οὐρανοφάντωρ προσαγορεύει αὐτὸν πατέρα.— Σ. Μ.—

λὰς τοῦ Ἀθανασίου πρὸς τοὺς ἐν Ἀφρικῇ ἐπισκόπους (1). Τελευταῖος ἀγὼν τοῦ Ἀθανασίου ἦν ὁ κατὰ τῆς διδασκαλίας τοῦ Ἀπολιναρίου, ἣν ἀνεσκεύασεν ἐν τοῖς δυσὶ βιβλίοις κατὰ Ἀπολλιναρίου. Τῷ 273 ὁ πιστὸς καὶ γενναῖος ποιμήν, οὗ «ὅρος μὲν ἐπισκοπῆς ὁ βίος καὶ τρόπος· νόμος δ' ὀρθοδοξίας τὰ ἐκείνου δόγματα» (2), ἀνεπαύθη ἐκ τῶν βαρέων αὐτοῦ πόνων (3) [*].

§. 114. Συγγράμματα τοῦ ἁγίου Ἀθανασίου: 1] Δογματικά: Α] τέσσαρες λόγοι κατὰ Ἀρειανῶν· ὑπόθεσις τοῦ ά, τοῦ β'., καὶ τοῦ γ'.

Ἅπας ὁ ποιμαντορικὸς βίος τοῦ ἁγίου Ἀθανασίου ἦν ἀγὼν διηνεκὴς κατὰ τοῦ Ἀρείου. Ἐντεῦθεν καὶ τὸ πλεῖστον μέρος τῶν συγγραμμάτων αὐτοῦ ἔγραψε κατὰ τοῦ ἀρειανισμοῦ. Ἀλλ' οὐχ ἧττον ἐν τῷ ἀριθμῷ τῶν συγγραμμάτων αὐτοῦ ὁρῶμεν συγγράμματα: 1] καθαρῶς δογματικά· 2] δογματικο-ἱστορικά· 3] ἑρμηνευτικά· 4] ἠθικά (4).

(1) Θεοδώρ. ἐκκλ. ἱστορ. β'. 17. Ἀθαν. T. I. P. 2. p. 712.

(2) Γρηγόρ. ὁ Ναζιανζ. λόγ. εἰς Ἀθανάσ.

(3) Ἡ μνήμη τοῦ ἁγίου Ἀθανασίου τελεῖται τῇ β'. Μαΐου καὶ τῇ ιή. Ἰανουαρίου. Ὁ μέγας οὗτος τῆς Ἐκκλησίας φωστὴρ ἐξεδήμησε πρὸς Κύριον τῇ β'. Μαΐου, ὡς τοῦτο ἀπέδειξεν ὅτι ὁ Μοντφαουκόνιος (Vita S. Athanasii p. 89) καὶ ὁ Matheus (Observ. litter. T. 3. p. 81) κατὰ τοῦ Βαρωνίου.

[*] Ἰδοὺ τίνα κρίσιν ἐκφέρει ὁ κλεινὸς Κοντογόνης περὶ τοῦ θείου τούτου Πατρός: «Ὁ ἅγιος Ἀθανάσιος, λέγει, συγκατατάσσεται μετὰ τῶν μεγάλων ἐκείνων ἀνδρῶν καὶ διδασκάλων, τοὺς ὁποίους ποτὲ ἀνέδειξεν ἡ Ἐκκλησία· βαθὺς τὸν νοῦν, εὐγενὴς τὴν καρδίαν, ἐν κινδύνοις ἀτρόμητος καὶ γενναῖος, τὴν πίστιν θερμότατος, τὴν ἀγάπην εἰλικρινέστατος, τὴν ταπείνωσιν ἀνυπόκριτος, δεινὸς περὶ τὸ λέγειν, καὶ ἐν τῷ βίῳ αὐστηρός, ὁμολογεῖται, ὅτι ἠξιώθη πάντων τούτων τῶν χαρισμάτων, ἵνα ἱκανὸς ἀποδειχθῇ περὶ τὴν ἐκπλήρωσιν τοῦ ὑψηλοῦ προορισμοῦ, εἰς ὃν ἄνωθεν ἐκλήθη ν' ἀντιπολεμήσῃ πρὸς τὴν πασῶν φρικωδεστάτην αἵρεσιν τῶν Ἀρειανῶν» (Φιλολογ. καὶ Κριτ. ἱστορ. τῶν ἁγ. Πατέρων. T. 2. σελ. 104). Σ. Μ.

(4) Αἱ ἄρισται τῶν ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἁγίου Ἀθανασίου

1] Οἱ λόγοι τοῦ ἁγίου Ἀθανασίου κατὰ Ἀρειανῶν διὰ τὴν σχέσιν αὐτῶν μετὰ τοῦ κυρίου σκοποῦ τῆς ποιμαντορικῆς ἐνεργείας τοῦ Ἀθανασίου εἰσὶν ἰδίως ἄξιοι προσοχῆς (1) [α]. Οἱ λόγοι, κατὰ τὴν πρόθεσιν τοῦ ἁγίου Ἀθανασίου, συνιστᾶσιν ἓν ὅλον. Ὁ δὲ τελευταῖος τούτων μόνον τελευτᾷ διὰ τῆς εἰς τὴν ἁγίαν Τριάδα δοξολογίας, ᾗ συνήθως ἐπέραινον τὰ ἑαυτῶν συγγράμματα οἱ ἀρχαῖοι Πατέρες. Πλὴν ἀλλὰ κατ' ἀρχὰς οὐκ ἐξεδόθησαν οἱ πάντες ὁμοῦ. Ἐν τῇ ἀρχῇ τοῦ δευτέρου λόγου ὁ ἅγιος Ἀθανάσιος λέγει σαφῶς, ὅτι μετὰ τὸ κοινοποιῆσαι τῇ Ἐκκλησίᾳ εἰς ἔλεγχον τῶν Ἀρειανῶν τὸν

εἰσί: α.) ἡ ἐν Παρισίοις τῷ 1698 δημοσιευθεῖσα studio monachorum S. Benedicti, 3 partes in duobus tomis. Συμπληρώσεις εἰς τὴν ἔκδοσιν ταύτην ἐξέδωκεν ὁ Μοντφαουκόνιος ἐν τῇ ἑαυτοῦ Nova col. Patr. Gr. T. 2. β'.) ἡ ἐν Παταυΐῳ τῷ 1777 in 4 tomis. Ὁ ἐκδότης Νικόλαος Ἀντωνίου Ἰουστινιανὸς ἐξέδωκεν οὐ μόνον τὴν μνημονευθεῖσαν ἔκδοσιν, ἀλλὰ καὶ ἄλλα τινὰ συγγράμματα, γ'.) ἡ τοῦ Μιγνίου T. 1—4 Paris. 1857. Εἰς τὴν ἀρμενικὴν γλῶσσαν μετεφράσθησαν ἱκανὰ συγγράμματα ἐν τῷ ε'. ἔτι αἰῶνι (Neumann Gesch. d. Armen. Litter. 75)· ὀλίγα δὲ εἰς τὴν συριακὴν κατὰ τὸν αὐτὸν αἰῶνα (Assem. b. or. T. 3. p. 1—20).—

(1) Οἱ τέσσαρες κατὰ Ἀρειανῶν λόγοι ἐν τῇ σλαβ. μεταφρ. τοῦ Σλαβενισκίου ἐξεδόθησαν ἐν Μόσχᾳ τῷ 1665.

[α] Ὁ κριτικώτατος Φώτιος ἀποφαίνεται περὶ τῶν λόγων τούτων ὧδε: «Ἀνεγνώσθη τοῦ αὐτοῦ ἁγίου (Ἀθανασίου) ἡ κατὰ Ἀρείου καὶ τῶν αὐτοῦ δογμάτων πεντάβιβλος. Τὴν μὲν οὖν φράσιν σαφής τέ ἐστιν, ὡς καὶ ἐν πᾶσι, καὶ ἀπέριττος καὶ ἀφελής, δριμὺς καὶ βαθύς, καὶ λίαν τοῖς ἐπιχειρήμασιν εὔτονος. Καὶ τὸ γόνιμον δὲ αὐτοῦ ἐν τούτοις ἡλίκον ὅσον καὶ θαυμάσιον· λογικαῖς τε μεθόδοις οὔτι γυμνῶς καὶ ἀπὸ τῶν ἐκεῖθεν λέξεων, ὥσπερ οἱ παῖδες καὶ ἀρτιμαθεῖς μειρακιώδη φιλοτιμίαν ἐπιδεικνύμενοι πράττουσιν, ἀλλ' ἐμφιλοσόφως τε καὶ μεγαλοπρεπῶς, καὶ ταῖς ἐννοίαις μόναις καὶ ταύταις διεσχηματισμέναις ἀποκέχρηται· γραφικαῖς τε μαρτυρίαις καὶ ἀποδείξεσιν εἰς τὸ καρτερὸν κατωχύρωται· καὶ ἁπλῶς ἀρκεῖ τὸ βιβλίον τοῦτο κατὰ πάσης ἀρειανῆς παρατάξεως. Καὶ εἴ τις τὸν θεολόγον Γρηγόριον καὶ τὸν θεῖον Βασίλειον ἐκ ταύτης, ὥσπερ πηγῆς, ἀρυσαμένους φαίη τῆς βίβλου τοὺς καλοὺς ἐκείνους καὶ διειδεῖς τῶν οἰκείων λόγων κατὰ τῆς πλάνης ῥεῦσαι ποταμούς, οὐκ ἄν, οἶμαι, σφαλείη τοῦ παραδείγματος» (ἀνάγν. ρμ'.) Σ. Μ.

πρῶτον αὐτοῦ λόγον κατ' αὐτῶν, οἱ Ἀρειανοὶ προβάλλονται νέας ἐνστάσεις.

Ὁ ἅγιος Ἀθανάσιος ἄρχεται τοῦ πρώτου κατὰ τῶν Ἀρειανῶν λόγου δεικνύς, ὅτι οὐκ εἰσὶ Χριστιανοί. Οὐκ εἰσί, λέγει, Χριστιανοί, ὡς οὐκ εἰσιν οἱ Μαρκιωνισταί, οἱ Μανιχαῖοι, καὶ πάντες οἱ ἄλλοι, οἵ λαβόντες τὴν ἑαυτῶν προσηγορίαν παρ' ἀνδρῶν ἐκβεβλημένων τῆς χριστιανικῆς κοινωνίας. «Οὐδὲ πώποτε γὰρ λαὸς ἀπὸ τῶν οἰκείων ἐπισκόπων ἔσχε τὴν ἐπωνυμίαν, ἀλλ' ἀπὸ τοῦ Κυρίου, εἰς ὃν καὶ τὴν πίστιν ἔχομεν. Τῶν γοῦν μακαρίων Ἀποστόλων διδασκάλων ἡμῶν γενομένων, καὶ διακονησάντων τὸ τοῦ Σωτῆρος Εὐαγγέλιον, οὐκ ἐξ ἐκείνων ἐκλήθημεν, ἀλλ' ἀπὸ τοῦ Χριστοῦ Χριστιανοὶ καί ἐσμεν, καὶ ὀνομαζόμεθα» (§. 2). Οἱ Ἀρειανοί, προστίθησιν ὁ ἅγιος Ἀθανάσιος, καὶ διὰ τοῦτο οὐκ εἰσι Χριστιανοί, ὅτι κατέλιπον ἄνευ προσοχῆς τοὺς λόγους τῆς θείας Γραφῆς, τὴν δὲ Θαλείαν τοῦ Ἀρείου σοφίαν καινὴν ὀνομάζουσι (§. 4). Σημειώσας προσέτι, ὅτι ὁ Ἄρειος ἐν τῇ Θαλείᾳ αὐτοῦ ἐμιμήσατο τὸ σύγγραμμα τοῦ ἐθνικοῦ Σωτάδου, οὗ καὶ αὐτοὶ οἱ ἐθνικοὶ καταγελῶσι, ἐκτίθησι τὴν ὑπόθεσιν τοῦ συγγράμματος τούτου, σύναμα δὲ καὶ τὰς κυρίας δόξας τῆς ἀρειανῆς αἱρέσεως (¹).

Τῇ διδασκαλίᾳ τοῦ Ἀρείου, ἣν ὁ ἅγιος Ἀθανάσιος ὀνομάζει πρόδρομον τοῦ Ἀντιχρίστου, ἀντίκειται ἡ διδασκαλία τῆς χριστιανικῆς Ἐκκλησίας, ἡ διδασκαλία τῶν Ἀποστόλων. Τῇ πρώτῃ δόξῃ τοῦ Ἀρείου, ὅτι ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός, ἀντιτίθησι α'.] τοὺς λόγους: ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ἄλλα ὅμοια χωρία (Ἀποκ. ά. 4. Ρωμ. θ'. 5. ά. 20. Κορινθ. Α'. ά. 24. Ἰωάν. ιδ'. 8. 9. Ἑβρ. ά. 2. καὶ καθ.)(²). β'.] τοιαύταις ἐκφράσεσιν, οἷαι αἱ τοῦ Ἀρείου περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ: οὐκ ἦν, πρὶν ἤ, ὅτε,—ἡ ἁγία Γραφὴ χρῆται μόνον περὶ τῶν κτισμάτων, οὐδέποτε δὲ περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ· γ'.] οἱ λέγοντες: ἦν ποτε, ὅτε οὐκ ἦν ὁ Υἱός, προϋποτιθεῖσιν, ὅτι ὁ Θεὸς Πατὴρ ἦν ποτε τοῦ ἰδίου Λόγου καὶ Σοφίας χωρίς, καὶ ὅτι τὸ φῶς ἦν ποτε χωρὶς αὐγῆς, καὶ ἡ πηγὴ ἄγονος καὶ ξηρά.

(¹) Montfaucon. p. 401-405.
(²) p. 412—416.

Παραδεχόμενοι, ὅτι ὁ Υἱὸς οὐκ ἦν ἀπ' αἰῶνος, ὀφείλουσι παραδέξασθαι, ὅτι ὁ Υἱὸς ἐγένετο παρά τινος ἐκτὸς τοῦ Θεοῦ, καὶ ὁ ὑπὸ τοῦ Θεοῦ δημιουργηθεὶς διὰ τοῦ Λόγου κόσμος, ἐδημιουργήθη ὑπὸ Δημιουργοῦ ὑπάρχοντος ἐκτὸς τοῦ Θεοῦ (1)· δ'.] εἰ ὁ Υἱὸς οὐκ ἔστιν αἰώνιος, ἦν χρόνος, ὅτε ἐν τῷ Θεῷ Πατρὶ οὐκ ἦν ἀλήθεια, διότι ὁ Υἱός ἐστιν ἡ ἀλήθεια (2).

«Εἰ γέννημα, λέγουσιν οἱ Ἀρειανοί, ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς καὶ εἰκών, καὶ ὅμοιός ἐστι κατὰ πάντα τοῦ Πατρός, ὀφείλει πάντως, ὥσπερ γεγέννηται, γεννᾷν καὶ ὁ Υἱός, καὶ γίνεσθαι καὶ αὐτὸς πατὴρ υἱοῦ». Ἀπαντῶν εἰς τὸ σόφισμα τοῦτο τῶν Ἀρειανῶν, ὅπερ ἐδανείσθησαν παρὰ τῶν Γνωστικῶν, ὁ ἅγιος Ἀθανάσιος, λέγει, ὅτι τοῖς ὀνόμασιν Υἱὸς καὶ Πατὴρ οὐ δεῖ συνενοῦν σωματικόν τι· διότι ὡς ὁ Θεὸς Πατὴρ οὐ γεννᾶται παρὰ Πατρός, οὕτω καὶ ὁ Υἱὸς οὐκ ἐγεννήθη, ἵνα γεννᾷ. Ἔπειτα ἀνασκευάζει διάφορα σοφίσματα, δι' ὧν οἱ Ἀρειανοὶ ἐξηπάτων τοὺς ἁπλουστέρους (3).

Ἑρμηνεύει ἔπειτα τὴν ἔννοιαν τῶν ῥήσεων: «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων» (Φιλιπ. β'. 9, 10), καί: «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου» (ψαλ. μδ'. 8), ἃς οἱ Ἀρειανοὶ ἡρμήνευον ὑπὲρ ἑαυτῶν.

Ἡ ἔκφρασις ὑπερύψωσεν οὐ δηλοῖ, ὅτι ἡ οὐσία τοῦ Λόγου ὑπερυψώθη, ἀλλὰ ἐκφαίνει τὴν ὑπερύψωσιν τῆς ἀνθρωπότητος. Τοῦτο ἐρρέθη μόνον μετὰ τὴν ἐνσάρκωσιν τοῦ Λόγου, ἵνα γένηται δῆλον, ὅτι αἱ λέξεις: ἐταπείνωσεν ἑαυτόν, ὑπερύψωσεν, ἀναφέρονται πρὸς τὴν ἀνθρωπότητα. Ἐκεῖνο μόνον δύναται ὑψωθῆναι, ὅπερ ἐστὶ ταπεινόν. Διὰ τὴν πρόσληψιν τῆς σαρκὸς γέγραπται ἐταπείνωσεν ἑαυτόν, Διὸ καὶ τὸ ὑπερύψωσεν ἀναφέρεται πρὸς αὐτὴν (§. 41). Ἡ τοιαύτη ἔννοια τῶν λόγων τοῦ Ἀποστόλου βεβαιοῦται καὶ ἐξ ἄλλων παραλλήλων χωρίων. Πρὸς τὸν τοιοῦτον δὲ σκοπὸν καὶ ἐν τοιαύτῃ ἐννοίᾳ ἑρμηνεύονται καὶ οἱ λόγοι

(1) p. 417-418-419-423.
(2) p. 424—425.
(3) p. 426—440.

τοῦ Ἀποστόλου περὶ τῆς ὑπεροχῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνώπιον τῶν Ἀγγέλων (Ἑβρ. ά. 4.) (1) [α].

Ἐν δὲ τῷ δευτέρῳ λόγῳ ὁ ἅγιος Ἀθανάσιος ἐξετάζει τρεῖς ῥήσεις τῆς ἁγίας Γραφῆς, ἃς οἱ Ἀρειανοὶ ἡρμήνευον ὑπὲρ ἑαυτῶν.

---

(1) p. 441—467.

[α] Οἱ λόγοι, λέγει, οὗτοι ἀναφέρονται εἰς τὸν Ἰησοῦν Χριστὸν ὡς πρὸς τὴν ἀνθρωπίνην αὐτοῦ φύσιν καὶ τὸ ὑπούργημα τοῦ μεσίτου, ὅπερ ἐπετέλεσε. Δείκνυσιν, ὅτι ἐν τῷ χωρίῳ τούτῳ ὁ Ἀπόστολος Παῦλος οὐ ποιεῖται παραβολὴν μεταξὺ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων, ἵνα μή τις νομίσῃ ὅτι εἰσὶ τῆς αὐτῆς φύσεως· ἀλλ' ἠβουλήθη σημειῶσαι διὰ τῆς ἐκφράσεως κρείττων τὴν διαφορὰν τῆς φύσεως τοῦ Υἱοῦ τῆς τῶν οὐρανίων πνευμάτων. Ὁ Ἀπόστολος Παῦλος δίδωσι τοῖς ἀγγέλοις τὸ ὄνομα δούλων, τὸ δὲ ὄνομα τοῦ Υἱοῦ, τῷ Ἰησοῦ Χριςῷ. Περὶ τοῦ Ἰησοῦ Χριστοῦ λέγει, ὅτι ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· περὶ δὲ τῶν ἀγγέλων, ὅτι εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Διὰ τῶν λόγων τούτων, προστίθησιν ἔτι ὁ Ἀθανάσιος, ἐννοητέον, ὅτι τὸ ὑπούργημα, ὅπερ ὁ Ἰησοῦς Χριςὸς ἐξεπλήρωσεν, ἐστι πολλῷ ἀνώτερον τοῦ τῶν Ἀγγέλλων, διότι ὁ νέος νόμος, οὗ ἐστι νομοθέτης, ἐστι πολλῷ ἐξοχώτερος τοῦ ἀρχαίου νόμου, ὃς ἠγγέλθη διὰ τοῦ ὑπουργήματος τῶν Ἀγγέλων. Ἑρμηνεύων ὁ μ. Θεοδώρητος τὸν στίχον τοῦτον λέγει: « Καὶ τοῦτο δὲ κατὰ τὸ ἀνθρώπινον εἴρηται· ὡς γὰρ Θεός, ποιητὴς ἀγγέλων, καὶ δεσπότης ἀγγέλων· ὡς δὲ ἄνθρωπος, μετὰ τὴν ἀνάστασιν καὶ τὴν εἰς Οὐρανοὺς ἀνάβασιν, κρείττων ἀγγέλων ἐγένετο· ἐπειδὴ καὶ ἐλάττων ἦν ἀγγέλων διὰ τὸ πάθημα τοῦ θανάτου· τὸν γὰρ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου. Ὥσπερ τοίνυν ἐλάττων ἦν ἀγγέλων ὡς ἄνθρωπος· ἐπειδὴ ἐκεῖνοι μὲν ἀθάνατον ἔχουσι φύσιν, αὐτὸς δὲ τὸ πάθος ὑπέμεινεν· οὕτω μετὰ τὴν εἰς Οὐρανοὺς ἀνάβασιν κρείττων ἀγγέλων ἐγένετο· ἐκάθισε γὰρ ἐπάνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ δυνάμεως, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Ποιεῖται δὲ τὴν σύγκρισιν καὶ ἐκ τῶν ὀνομάτων ὁ θεῖος Ἀπόστολος. Οὕτω καὶ πρὸς τοὺς προφήτας παρεξέτασιν ἐποιήσατο, Υἱὸν δείξας τὸν Δεσπότην Χριστόν· οὕτω καὶ ἐπὶ τῶν ἀγγέλων τῆς υἱότητος μνημονεύει, καὶ ταύτῃ δείκνυσι τὸ διάφορον. Τοσούτῳ γάρ, φησι, κρείττων γενόμενος ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Ὅτι δὲ τῆς υἱότητος ὄνομα λέγει, τὰ ἐπαγόμενα διδάσκει». (Τ. Γ'. σελ. 276. ἔκδ. Εὐγεν. τοῦ Βουλγ.) Σ. Μ.

Περὶ τῆς πρώτης ῥήσεως πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν ('Εβρ. γ'. 1) λέγει ὁ Ἀθανάσιος: «οὐ τὴν οὐσίαν τοῦ Λόγου, οὐδὲ τὴν ἐκ τοῦ Πατρὸς φυσικὴν γέννησιν σημᾶναι θέλων ὁ Ἀπόστολος, εἴρηκε, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν· μὴ γένοιτο! ποιῶν γάρ ἐστιν ὁ Λόγος, οὐ ποιούμενος αὐτός· ἀλλὰ τὴν εἰς ἀνθρώπους αὐτοῦ κάθοδον καὶ ἀρχιερωσύνην γενομένην». Τὴν τοιαύτην τῶν ἀποστολικῶν λόγων ἔννοιαν ἐκτίθησι σαφέστατα, ἐξετάζων τοῦτο τὸ χωρίον ἐν συναφείᾳ μετὰ τῶν προηγουμένων καὶ ἑπομένων ῥήσεων καὶ μετὰ τοῦ πνεύματος ἁπάσης τῆς Γραφῆς (1)· Ἐπ' ἴσης πρὸς τὴν ἐνσάρκωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ εἰς τὴν δόξαν αὐτοῦ, τὴν ἐπακολουθήσασαν μετὰ τὸ σταυρικὸν πάθος, ἀνάγει καὶ τοὺς λόγους τοῦ Ἀποστόλου Πέτρου, ὅτι Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε» (Πράξ. β'. 36.) (2). Ἡ ἑρμηνεία ἀμφοτέρων τῶν ῥήσεών ἐστι ἐξαίρετος. Οἱ λόγοι τῶν Παροιμιῶν: «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ» ἐν ἐκτάσει διασαφοῦνται καὶ ἐφαρμόζονται εἰς τὴν τελεσθεῖσαν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους διὰ τῆς ἐνανθρωπήσεως τῆς Ὑποστατικῆς Σοφίας, τῇ δὲ ἀρειανῇ δόξῃ περὶ τῆς ἐγχρόνῳ γενέσεως τῆς Σοφίας ἀντιτίθησι τὸ χωρίον: Πρὸ δὲ πάντων βουνῶν γεννᾷ με (3)[*]. Σημειωτέον δέ, ὅτι ἡ ἀπάντησις εἰς τὴν ἔνστασιν ἦν ἂν ἁπλουστέρα, εἰ ἐστρέφετο ἡ προσοχὴ εἰς τοῦτο,

(1) p. 469—479.

(2) p. 480—520.

(3) p. 523—549.

(*) Ὁ Ἀθανάσιος τοὐναντίον ἀναγινώσκει Β'. Τιμ. ά. 9. «καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν, καὶ χάριν τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων»· καὶ ἔτι, Ἐφεσ. ά. 4. «Καθὼς ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν». Ἐκθεὶς ὁ θεῖος Πατήρ, ὅτι ὁ Θεὸς οὐ προαιρεῖται ἐν τῷ χρόνῳ, ἀλλ' ὅτι ἡ πτῶσις τοῦ ἀνθρώπου καὶ ἡ ἀπολύτρωσις αὐτοῦ προωράθησαν καὶ προαπεφασίσθησαν, καὶ ὅτι, ἑπομένως, τὸ χωρίον τῶν Παροιμιῶν ἀναφέρεται εἰς τὴν ἀπολύτρωσιν, προστίθησι: «Πῶς δὲ καὶ πρὸ χρόνων αἰωνίων ἐλαμβάνομεν (τὴν υἱοθεσίαν), μήπω γεγονότες, ἀλλ' ἐν χρόνῳ γεγονότες, εἰμὴ ἐν τῷ Χριστῷ ἦν ἀποκειμένη ἡ εἰς ἡμᾶς φθάνουσα χάρις; Διὸ καὶ ἐν τῇ κρίσει, ὅταν ἕκαστος κατὰ τὴν πρᾶ-

ὅτι ἡ ἔννοια τοῦ πρωτοτύπου ἐκφράζεται ἀκριβῶς διὰ τῆς λέξεως ἐκτήσατο [*].

ξιν ἀπολαμβάνῃ, φησί: Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Πῶς οὖν ἢ ἐν τίνι, πρὶν γενέσθαι ἡμᾶς, ἡτοιμάσθη, εἰμὴ ἐν τῷ Κυρίῳ τῷ πρὸ αἰῶνος εἰς τοῦτο θεμελιωθέντι, ἵν' ἡμεῖς, ὡς ἐπ' αὐτὸν ἐποικοδομούμενοι, μεταλάβωμεν, ὡς λίθοι εὐάρμοστοι, τῆς παρ' αὐτοῦ ζωῆς τε καὶ χάριτος. Τοῦτο δὲ γέγονεν, ὥς γε μετρίως ἐπέρχεταί τινι νοεῖν εὐσεβῶς, ἵνα, καθὰ προεῖπον, ἀναστάντες ἀπὸ τοῦ πρὸς ὀλίγον θανάτου, αἰωνίως ζῆσαι δυνηθῶμεν· οὐκ ἂν δυνηθέντες ἄνθρωποι τυγχάνοντες ἀπὸ γῆς, εἰμὴ πρὸ τοῦ αἰῶνος ἦν προετοιμασθεῖσα ἡμῖν ἐν Χριστῷ ἡ τῆς ζωῆς καὶ σωτηρίας ἐλπίς. Οὐκοῦν εἰκότως ἐπιβαίνων ὁ Λόγος εἰς τὴν ἡμετέραν σάρκα, καὶ ἐν αὐτῇ κτιζόμενος ἀρχὴ ὁδῶν εἰς ἔργα αὐτοῦ θεμελιοῦται οὕτως, ὥσπερ ἦν ἐν αὐτῷ τὸ βούλημα τοῦ Πατρός, καθάπερ εἴρηται, πρὸ τοῦ αἰῶνος, καὶ πρὸ τοῦ τὴν γῆν γενέσθαι, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πρὸ τοῦ τὰς πηγὰς προελθεῖν· ἵνα κἂν ἡ γῆ, καὶ τὰ ὄρη, καὶ τὰ σχήματα τῶν φαινομένων παρέλθῃ ἐν τῇ συντελείᾳ τοῦ ἐνεστῶτος αἰῶνος, μὴ κατ' αὐτὰ παλαιωθῶμεν καὶ ἡμεῖς· ἀλλὰ δυνηθῶμεν καὶ μετὰ ταῦτα ζῆν, ἔχοντες τὴν πρὸ τούτων ἑτοιμασθεῖσαν ἡμῖν ἐν αὐτῷ τῷ Λόγῳ, κατ' ἐκλογήν, ζωήν τε καὶ εὐλογίαν πνευματικήν. Οὕτω γὰρ δυνησόμεθα μὴ πρόσκαιρον ἔχειν ζωήν, ἀλλὰ μετὰ ταῦτα διαμεῖναι ζῶντες ἐν Χριστῷ· ἐπειδὴ καὶ πρὸ τούτων ἡ ζωὴ ἡμῶν ἐτεθεμελίωτο καὶ ἡτοίμαστο ἐν Χριστῷ Ἰησοῦ». (§. 77.) Ἐνταῦθα ὁ Λυτρωτὴς θεωρεῖται ὡς ὁ δεσμὸς τῆς ἑνώσεως τῶν εἰς Αὐτὸν πιστευόντων. Ἡ αἰώνιος θεότης τοῦ Υἱοῦ ἐστι τὸ ἐνέχυρον τῆς ἡμετέρας αἰωνίου ζωῆς, προσέλκοντος αὐτοῦ ἡμᾶς πρὸς ἑαυτὸν ἐν τῇ αἰωνιότητι καὶ ποιοῦντος ἡμᾶς ζῆν αἰωνίως ἐν ἑαυτῷ. Τοιούτῳ τρόπῳ μόνον πεποίθαμεν, ὅτι διαμενοῦμεν, ὅταν καταστραφῇ τὰ πάντα, διότι ἐκεῖνος, ᾧ ἡνώμεθα, καὶ οὗ ἐσμὲν ἀχώριστοι, διαμενεῖ ἐκ τῆς ἰδίας αὐτοῦ φύσεως. Διὰ τοῦτο λέγει ὡσαύτως ἐν τῷ Α'. λόγῳ ὅτι εἰ ὁ Υἱὸς εἶχεν ἀρχήν, εἶχεν ἂν καὶ τέλος. Ἐκ τούτων ὁρῶμεν, ὅτι ὁ Ἀθανάσιος προσάπτει ἅπασαν τὴν ἐλπίδα, ἅπασαν τὴν πεποίθησιν, ἅπαντας τοὺς πόθους τοῦ χριστιανοῦ τῷ ἀληθεῖ Θείῳ προσώπῳ τοῦ Λυτρωτοῦ, ὥστε προσμάχεται τῷ Ἀρείῳ δι' ὅπλων λαμβανομένων ἐκ τῆς ἐσωτάτης οὐσίας τοῦ χριστιανισμοῦ. Πάντα ἐφαίνοντο αὐτῷ ἀβέβαια, ἀσταθῆ, καὶ οὐδέν, ἐπὶ τῇ ὑποθέσει, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἔστι ἀληθὴς Θεός. Τοιούτῳ τρόπῳ

Ἐν τῷ πρώτῳ μέρει τοῦ τρίτου λόγου ὁ ἅγιος Ἀθανάσιος δείκνυσι τὸ ἑνιαῖον τῆς Θείας οὐσίας ἐν τῷ Πατρὶ καὶ τῷ Υἱῷ: «Ἡ τοῦ Υἱοῦ θεότης τοῦ Πατρός ἐστιν· ὅθεν καὶ ἀδιαίρετός ἐστι». Τοῦτο στηρίζει ἐπὶ τῶν λόγων τοῦ Σωτῆρος (Ἰωάν. ί. 30—38. ιδ΄. 10), καὶ ἐξηγεῖ πῶς ἐννοητέον τὸ ἑνιαῖον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ: «ἕν γάρ εἰσιν, οὐχ ὡς ἑνὸς πάλιν εἰς δύο μέρη διαιρεθέντος, καὶ μηδὲν ὄντων πλὴν ἑνός· οὐδὲ ὡς τοῦ ἑνὸς δὶς ὀνομαζομένου, ὥστε τὸν αὐτὸν ἄλλοτε μὲν Πατέρα, ἄλλοτε δὲ Υἱὸν ἑαυτοῦ γίνεσθαι· τοῦτο γὰρ Σαβέλλιος φρονήσας, αἱρετικὸς ἐκρίθη. Ἀλλὰ δύο μέν εἰσιν, ὅτι ὁ Πατὴρ Πατήρ ἐστι, καὶ οὐχ ὁ αὐτὸς Υἱός ἐστι· καὶ ὁ Υἱὸς Υἱός ἐστι, καὶ οὐχ ὁ αὐτὸς Πατήρ ἐστι. Μία δὲ ἡ φύ-

ἀείποτε ἐφρόνησαν οἱ ἀληθεῖς Χριστιανοί· μετὰ τοῦ Ἰησοῦ Χριστοῦ πάντα ἐδόθησαν αὐτοῖς καὶ ἐβεβαιώθησαν· ἄνευ αὐτοῦ, οὐδέν· καίτοι οὐ πάντες ἠδυνήθησαν διερευνῆσαι τὴν πίστιν αὐτῶν καὶ ἐκθεῖναι αὐτὴν οὕτω σαφῶς, ὡς ὁ Ἀθανάσιος, ὁ κατ' ἐξοχὴν Χριστιανὸς θεολόγος. Καὶ αὐτὴν τὴν βεβαιότητα περὶ τῆς ἀθανασίας προσάπτει τῇ ἐν Χριστῷ ζωῇ, τῷ αἰωνίῳ καὶ ἀφθάρτῳ. Σ. Μ.

[*] Ὁ Φίλων ἔτι ἀνέγνω τὴν λέξιν ταύτην ἐκτήσατό με, πληρέστατα ἀνταποκρινομένην τῇ ἑβραϊκῇ קנה (κανᾶ). Ἀκριβῶς ὡσαύτως μετέφρασαν τὰς ἑβραϊκὰς λέξεις ὁ Ἀκύλας, ὁ Σύμμαχος, καὶ ὁ Θεοδοτίων· ἐκτήσατο ἀνέγνω καὶ ὁ Ὠριγένης (Comment. in Math. T. XVII. Op. T. 3. p. 788), καὶ ἡ αὐτὴ λέξις ἀναγινώσκεται ἔν τισιν ἀρχαίοις ἀπογράφοις τῆς ἑλληνικῆς ἀρχαίας Γραφῆς (ἴδ. Vet. Test. Graece, edit. Holmissii. T. 3. ad h. 1.) Ὁ μακάριος Ἱερώνυμος μετέφρασε: Dominus possedit me=ὁ Κύριος ἐκτήσατό με, καὶ τὴν ἀνάγνωσιν ταύτην γενναίως καὶ βασίμως ὑπερήσπισεν ἐν τῇ 139 ἐπιστ. πρὸς Κυπριανόν. Ἐν τούτοις οὐδεμία ἀμφιβολία, ὅτι καὶ ἡ λέξις ἔκτισε οὐ δύναται σημαίνειν ἐνταῦθα κτίσμα ἐν ἰδιαιτέρᾳ ἐννοίᾳ, ὡς τοῦτο δῆλον ἐκ τῆς συναφείας τῆς περὶ τῆς Σοφίας θεοπνεύστου ὁμιλίας. [Προκόπιος ὁ Γαζαῖος ἑρμηνεύει τὴν ῥῆσιν ταύτην ὧδε: «Γίνωσκε τοίνυν, ὅτι ὁ ἐμὸς Πατήρ, καὶ τῶν ὅλων Δεσπότης Θεός, εὐδόκησε κτιστὸν σαρκί με γενέσθαι τὸν ἄκτιστον· ὡς ἂν οἱ πρὸς αὐτὸν διὰ τῶν αὐτοῦ ἐντολῶν ὁδεύειν βουλόμενοι, ἐμοὶ οἷάπερ ἀρχηγῷ τῆς σωτηρίας αὐτῶν ἕπωνται, πρώτῳ ταύτας ἀνθρωποπρεπῶς ὁδεύοντι· καὶ ἔχωσι με ὑπογραμμὸν εἰς τὸ κατὰ μίμησιν ἐμὴν τὰ θεῖα τῆς δικαιοσύνης ἔργα ἐργάζεσθαι· καὶ οὕτω μὲν ἔκτισέ με τὸν ἄκτιστον». Σ. Μ.]

σις». Εἰς διασάφησιν τούτου τοῦ ἑνιαίου ἀναφέρει τὸ ἑξῆς παράδειγμα: «Καὶ γὰρ καὶ τὸ ἀπαύγασμα φῶς ἐστιν, οὐ δεύτερον τοῦ Ἡλίου, οὐδὲ ἕτερον φῶς, οὐδὲ κατὰ μετουσίαν αὐτοῦ, ἀλλ' ὅλον ἴδιον αὐτοῦ γέννημα. Τὸ δὲ τοιοῦτον γέννημα ἐξ ἀνάγκης ἕν ἐστι φῶς· καὶ οὐκ ἄν τις εἴποι δύο φῶτα εἶναι ταῦτα» (1).

Ἔπειτα ὁ ἅγιος Ἀθανάσιος λύει τὰς ἐνστάσεις τῶν Ἀρειανῶν κατὰ τοῦ ἑνιαίου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ κατὰ τὴν οὐσίαν αὐτῶν. Μόνος ὁ Πατὴρ ἐστι Θεός, ἔλεγον οἱ Ἀρειανοί, ἔχοντες ὑπ' ὄψιν τὰ ρητὰ τῆς Γραφῆς περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ (Ἐξ. γ'. 14). Ἡ ἁγία Γραφή, ἀποκρίνεται ὁ ἅγιος Ἀθανάσιος, ὁμιλοῦσα περὶ τοῦ ἑνιαίου τοῦ Θεοῦ, ἀποστερεῖ τοὺς ψευδεῖς θεοὺς τοῦ τε ὀνόματος καὶ τῆς δόξης τῆς θεότητος, ἀλλ' οὐ τὸν Υἱὸν τοῦ Θεοῦ, ὅς ἐστιν ἡ ἑνιαία ἀλήθεια μετὰ τοῦ Πατρός. Οὕτως ἐδίδασκε καὶ ὁ Ἰωάννης, γράφων ἐν τῇ ἐπιστολῇ αὐτοῦ: «Καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ Υἱῷ Αὐτοῦ Ἰησοῦ Χριστῷ. Οὗτος ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος» (Ἰωάν. Α'. ε. 20). Εἰς ἀπόδειξιν τούτου τοῦ ἑνιαίου προβάλλεται τὴν διανομὴν τῶν δωρεῶν ὑπὸ μόνου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ (Κορινθ. Α'. ά. 3. Ρωμ. ά. 7. Ἐφεσ. ά. 2. Θεσσαλον. Α'. γ'. 11) (2).

«Οὐχ ὡς ὑμεῖς λέγετε, ἀλλ' ὡς ἡμεῖς, ἔλεγον οἱ Ἀρειανοί, θέλομεν· ἀνατραπόντων γὰρ ὑμῶν τὰς προτέρας ὑμῶν ἐπινοίας, ἐφεύρομεν καινοτέραν καὶ λέγομεν· οὕτως ἐστιν ὁ Υἱὸς καὶ ὁ Πατὴρ ἕν, καὶ οὕτως ἐστιν ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὁ Υἱὸς ἐν τῷ Πατρί, ὡς ἂν καὶ ἡμεῖς ἐν αὐτῷ γενοίμεθα», καὶ ἀνέφερον τοὺς λόγους τοῦ Σωτῆρος: «Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς . . . οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ, ὅτι σύ με ἀπέστειλας· κἀγὼ τὴν δόξαν, ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν, ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν

(1) p. 552—555.
(2) p. 556—565.

ἐμοί· ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας» (Ἰωάν. ιζ'. 11. 20—23). Εἰπὼν δὲ ὁ ἅγιος Ἀθανάσιος, ὅτι αἱ τοιαῦται περὶ ἑαυτῶν γνῶμαί εἰσιν ἀποτέλεσμα ἀλόγου ὑπερηφανίας, καὶ ὅτι τὸ ἑνιαῖον ἐκεῖνο, ὅπερ ὑπάρχει μεταξὺ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, οὐκ ἀποδίδοται ἐν τῇ ἁγίᾳ Γραφῇ οὐδ' αὐτοῖς τοῖς ἀγγέλοις, ἐπάγει, ὅτι τὸ ἑνιαῖον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ κατὰ τὴν οὐσίαν προτίθεται ἡμῖν μόνον ὡς παράδειγμα, οὐδέποτε ὅμως ἐστὶν ἡμῖν καταληπτόν, ὥσπερ καὶ ἡ ἐντολή: «ἔσεσθε ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι» (1).

Ὡς νέαν ἔνστασιν προὔτεινον οἱ Ἀρειανοὶ ἐκεῖνα τὰ χωρία τῆς Γραφῆς, ἐν οἷς λέγεται, ὅτι ἡ ἐξουσία ἐδόθη τῷ Υἱῷ ὑπὸ τοῦ Πατρός (Ματθ. κή. 18. Ἰωάν. έ. 22. ιϐ'. 27, 28).— Ὁ Ἀθανάσιος ἀνασκευάζων αὐτοὺς λέγει: «Σκοπὸς τοίνυν οὗτος καὶ χαρακτὴρ τῆς ἁγίας Γραφῆς, ὡς πολλάκις εἴπομεν, διπλῆν εἶναι τὴν περὶ τοῦ Σωτῆρος ἐπαγγελίαν ἐν αὐτῇ· ὅτι τε ἀεὶ Θεὸς ἦν καὶ Υἱός ἐστι, Λόγος ὢν καὶ ἀπαύγασμα καὶ Σοφία τοῦ Πατρός· καὶ ὅτι ὕστερον, δι' ἡμᾶς σάρκα λαϐὼν ἐκ Παρθένου τῆς Θεοτόκου Μαρίας, ἄνθρωπος γέγονεν». Ἐφεξῆς ἐξετάζει λεπτομερῶς τὰ χωρία τῆς ἁγίας Γραφῆς, ἐν οἷς ἐξεικονίζονται αἱ ἐνέργειαι τῆς τε ἀνθρωπίνης καὶ Θείας φύσεως τοῦ Χριστοῦ Ἰησοῦ.

Οἱ Ἀρειανοὶ συμφωνοῦντες πανούργως τοῖς ὀρθοδόξοις ὡς πρὸς τὴν γέννησιν τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός, προσετίθεσαν: «ἀλλὰ βουλήσει τοῦ Πατρὸς γέγονεν ὁ Υἱός». Ὁ ἅγιος Ἀθανάσιος, ἀποκαλύπτων ταύτην τὴν πανουργίαν, ἀνασκευάζει τὴν ψευδῆ ταύτην δόξαν, λέγων, ὅτι αἱ βουλήσεις τοῦ Πατρὸς ἐξεδηλώθησαν ἐν τῇ δημιουργίᾳ τοῦ κόσμου, ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ἐστιν αὐτὸς ὁ Δημιουργὸς καί ἐστιν αἰώνιος, καὶ ἐκτὸς τούτου ἐστὶν ἓν μετὰ τοῦ Πατρὸς κατὰ τὴν οὐσίαν, ἑπομένως οὐκ ἔστιν ἀποτέλεσμα ἢ ἐνέργεια τῆς βουλήσεως(2).

§. 115. Ὑπόθεσις τοῦ τετάρτου λόγου. Γενικὸς χαρακτὴρ τῶν κατὰ Ἀρειανῶν λόγων. Ἄλλα δογματικὰ συγγράμματα.

Ἐν τῷ τετάρτῳ λόγῳ ὁ ἅγιος Ἀθανάσιος ποιεῖται λόγον περὶ

(1) p. 566—574.
(2) p. 575—616.

τῆς Ὑποστατικῆς γενέσεως τοῦ Λόγου καὶ περὶ τῆς σχέσεως αὐτοῦ πρὸς τὸν Πατέρα. «Λεχθείη δ' ἂν καὶ οὕτω μία ἀρχὴ θεότητος, καὶ οὐ δύο ἀρχαί· ὅθεν κυρίως καὶ μοναρχία ἐστιν. Ἐξ αὐτῆς δὲ τῆς ἀρχῆς ἐστι φύσει Υἱὸς ὁ Λόγος, οὐχ ὡς ἀρχὴ ἑτέρα καθ' ἑαυτὸν ὑφεστὼς οὐδ' ἔξωθεν ταύτης γεγονώς, ἵνα μὴ τῇ ἑτερότητι δυαρχία καὶ πολυαρχία γένηται, ἀλλὰ τῆς μιᾶς ἀρχῆς ἴδιος Υἱός, ἰδία σοφία, ἴδιος Λόγος, ἐξ αὐτῆς ὑπάρχων. Κατὰ γὰρ τὸν Ἰωάννην, ἐν ταύτῃ τῇ ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· Θεὸς γάρ ἐστιν ἡ ἀρχή· καὶ ἐπειδὴ ἐξ αὐτῆς ἐστι, διὰ τοῦτο καὶ Θεὸς ἦν ὁ Λόγος. Ὥσπερ δὲ μία ἀρχή· καὶ κατὰ τοῦτο εἷς Θεός· οὕτως ἡ τῷ ὄντι καὶ ἀληθῶς καὶ ὄντως οὖσα οὐσία καὶ ὑπόστασις μία ἐστὶν ἡ λέγουσα, ἐγώ εἰμι ὁ Ὤν, καὶ οὐ δύο, ἵνα μὴ δύο ἀρχαί· ἐκ δὲ τῆς μιᾶς φύσει καὶ ἀληθῶς Υἱός, ὁ Λόγος, ἡ σοφία, ἡ δύναμις ἰδία ὑπάρχουσα αὐτῆς, καὶ ἐξ αὐτῆς ἀχώριστος. Ὥσπερ δὲ οὐκ ἄλλη, ἵνα μὴ δύο ἀρχαί, οὕτως ὁ ἐκ τῆς μιᾶς Λόγος οὐ διαλελυμένος, ἢ ἁπλῶς φωνὴ σημαντική. ἀλλὰ οὐσιώδης Λόγος καὶ οὐσιώδης σοφία, ἥτις ἐστιν ὁ Υἱὸς ἀληθῶς. Εἰ γὰρ δὴ μὴ οὐσιώδης εἴη, ἔσται ὁ Θεὸς λαλῶν εἰς ἀέρα, καὶ σῶμα οὐδὲν πλέον ἔχων τῶν ἀνθρώπων. Ἐπειδὴ δὲ οὐκ ἐστιν ἄνθρωπος, οὐκ ἂν εἴη οὐδὲ ὁ Λόγος αὐτοῦ κατὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Ὥσπερ γὰρ μία οὐσία ἡ ἀρχή, οὕτως εἷς οὐσιώδης καὶ ὑφεστὼς ὁ ταύτης Λόγος καὶ ἡ σοφία. Ὡς γὰρ ἐκ Θεοῦ Θεός ἐστι, καὶ ἐκ σοφοῦ σοφία, καὶ ἐκ λογικοῦ Λόγος, καὶ ἐκ Πατρὸς Υἱός· οὕτως ἐξ ὑποστάσεως ὑπόστατος, καὶ ἐξ οὐσίας οὐσιώδης καὶ ἐνούσιος, καὶ ἐξ ὄντος Ὤν. Ἐπεὶ εἰ μὴ οὐσιώδης σοφία, καὶ ἐνούσιος Λόγος, καὶ ὢν Υἱός, ἀλλὰ ἁπλῶς σοφία, καὶ Λόγος καὶ Υἱὸς ἐν τῷ Πατρί, εἴη ἂν αὐτὸς ὁ Πατὴρ σύνθετος ἐκ σοφίας καὶ Λόγου . . . Ἀλλὰ μὴ ὡς ποιότης τις ταῦτα ἐν τῷ Θεῷ· ἄπαγε! ἀπρεπὲς τοῦτο· εὑρεθήσεται γὰρ σύνθετος ὁ Θεὸς ἐξ οὐσίας καὶ ποιότητος».

Ἔπειτα δὲ ἀνασκευάζει τοὺς Εὐσεβιανούς, ὁρῶντας ἐν τῷ Υἱῷ τοῦ Θεοῦ αἰώνιον μέν, ἀλλὰ κατ' ἐπίνοιαν νοῦν, ἀρξάμενον ἐνεργεῖν κατὰ τὴν δημιουργίαν τοῦ κόσμου. Ὁ ἅγιος Ἀθανάσιος καλεῖ τὸ εἶδος τοῦτο τῶν περὶ τοῦ Υἱοῦ ἐννοιῶν ἀσθενὲς καὶ σύναμα ταπεινωτικὸν τοῦ Θεοῦ. Ὡσαύτως ἀποφαίνεται καὶ περὶ τῶν συνῳδὰ τῷ

Οὐαλεντίνῳ δοξαζόντων, ὅτι ἡ Μονὰς πλατυνθεῖσα γέγονε Τριάς· τέλος ἀνασκευάζει τὴν διδασκαλίαν Παύλου τοῦ Σαμοσατέως. Τοιαύτη ἡ ὑπόθεσις τῶν κατὰ Ἀρειανῶν τεσσάρων λόγων!

Ἡ ἀκριβὴς ἐξέτασις τῶν τεσσάρων λόγων τοῦ Ἀθανασίου δείκνυσι α΄.] ὅτι ὁ Ἀθανάσιος πρὸ παντὸς ἄλλου σπουδάζει ἀντιτιθέναι ταῖς διαλεκτικαῖς τῶν Ἀρειανῶν λεπτολογίαις τὴν αὐτὴν λογικὴν λεπτότητα τῶν συλλογισμῶν. Ἀφ' ἑνὸς μὲν πατάσσει τοὺς ἐχθροὺς τῷ αὐτῷ ὅπλῳ, ὃ κατεῖχον αὐτοὶ πρὸς βλάβην ἑαυτῶν, τῶν ἄλλων, καὶ αὐτῆς τῆς ἀληθείας· ἀφ' ἑτέρου δὲ χρῆται ἀκριβεῖ γλώσσῃ πρὸς δήλωσιν τῶν ἀποκεκαλυμμένων ἀληθειῶν· ἡ διαλεκτικὴ αὐτοῦ ἀσχολεῖται οὐχὶ περὶ τὰς λέξεις, ἀλλὰ συνενοῖ τὴν ἁπλότητα τῇ ἀκριβείᾳ, τῇ ἀφθονίᾳ καὶ σπουδαιότητι τῶν ἐννοιῶν. β΄.] Περικεκυκλωμένος ὑπὸ πλείστων ἐνστάσεων, ὧν πολλαὶ διέπρεπον μόνον τῇ λεπτότητι τῆς λέξεως, οὐχὶ δὲ τῆς ἐννοίας, ὁ ἅγιος διδάσκαλος εὑρίσκετο ἐν τῇ ἀνάγκῃ τοῦ ποιεῖσθαι συνεχῶς ἐπαναλήψεις;—καὶ ἐν τῇ ἐκθέσει τῶν ἰδεῶν αὐτοῦ ἐνίοτε διαταράττεται ἡ αὐστηρὰ συστηματικὴ τάξις. Διὰ τοῦτο δὲ κατεδίωκε τὸν ἀρειανισμὸν κατὰ πάσας αὐτοῦ τὰς ἐπόψεις. γ΄.] Ἐν τοῖς κατὰ Ἀρειανῶν λόγοις δείκνυται πληρέστατα ἡ διάπυρος ψυχὴ τοῦ Ἀθανασίου. Χαλεπῶς φέρων τὴν ἀναίδειαν τῶν αἱρετικῶν, καταδιώκει ἐνθέῳ ζήλῳ τὴν πολυμήχανον ἅμα καὶ θρασεῖαν τῶν Ἀρειανῶν διαλεκτικήν, τὴν τοσαύτας τῇ Ἐκκλησίᾳ ταραχὰς ἐμποιήσασαν. Ἐν τοῖς λόγοις αὐτοῦ ὁρᾶται προδήλως σταθερότης καὶ εὐτολμία τῆς ἐσωτερικῆς πεποιθήσεως, ἀκριβὴς γνῶσις τοῦ δόγματος, ζωηρὰ καὶ τέλεον πρέπουσα τῇ ὑποθέσει ἔκθεσις τῶν ἰδεῶν. δ΄.] Ἐὰν ἔτι ἀναμνησθῶμεν, ὅτι οἱ τέσσαρες οὗτοι λόγοι τοῦ Ἀθανασίου συνιστᾶσι τὸ πρῶτον δοκίμιον τῆς πλήρους καὶ λεπτομεροῦς ἐξετάσεως τῶν βάσεων ἐκείνων, ἐφ' ὧν οἱ Ἀρειανοὶ ἤγειραν τὴν νέαν αὐτῶν διδασκαλίαν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ, καταφανὴς καθίσταται ἡμῖν ἡ ὑψηλὴ ἀξία τοῦ πονήματος τοῦ ἱεράρχου.

Μετὰ τοὺς κατὰ Ἀρειανῶν λόγους μᾶλλον τῶν ἄλλων κατ' αὐτῶν ἐλέγχων (1) ἀξιοσημείωτός ἐστιν ὁ περὶ πίστεως λόγος

(1) Κατὰ Ἀρειανῶν ὡσαύτως ἐγράφησαν: ὁ λόγος εἰς τό: πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· ἡ ἐπιστολὴ πρὸς Ἀδέλφι-

ὁ μείζων, γνωστὸς τῷ Θεοδωρήτῳ. Ἐνταῦθα ἠρέμα διασαφοῦνται τὰ ῥητὰ τῆς Γραφῆς, τὰ ἀναφερόμενα εἰς τὴν ἀνθρωπότητα καὶ τὴν θεότητα τοῦ Ἰησοῦ Χριστοῦ. Ἐνταῦθα ὡσαύτως λέγεται: «. . . δι' οὗ σώματος Ἀρχιερεὺς καὶ Ἀπόστολος καὶ γέγονε καὶ ἐχριμάτιζε, δι' οὗ παρέδωκεν ἡμῖν μυστηρίου λέγων: τοῦτό ἐστι μου τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον, καὶ τὸ αἷμα τῆς Καινῆς Διαθήκης, οὐ τῆς Παλαιᾶς, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. . . ἐπιτελῶν γὰρ τὸ ἅγιον μυστήριον, εὐλογήσας εἶπε· πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μου ἐστι τὸ αἷμα τῆς Καινῆς Διαθήκης, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον [α].

ον, ἔνθα δείκνυσιν, ὅτι τῷ Λόγῳ τοῦ Θεοῦ ἐν τῷ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ δεῖ ἀποδιδόναι θείαν προσκύνησιν· περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ κατὰ Ἀρειανῶν, ἔνθα ἐλέγχει τοὺς Ἀνομοίους· ἡ ἔκθεσις τῆς πίστεως, περιέχουσα ἑρμηνείαν τοῦ μηστυρίου τῆς ὑπεραγίας Τριάδος· ἡ ἐπιστολὴ ὅτι ἡ ἐν Νικαίᾳ Σύνοδος, ἑωρακυῖα τὴν πανουργίαν τῶν περὶ Εὐσέβιον, ἐξέθετο πρεπόντως καὶ εὐσεβῶς κατὰ τῆς ἀρειανῆς αἱρέσεως τὰ ὁρισθέντα.

[α] Ἑρμηνεύων ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα τετάρτῃ ἐπιστολῇ τὸ χωρίον τοῦ Ματθαίου: «πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις. Ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τούτῳ τῷ αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι» (ιϐ'. 31-32), λέγει, ὅτι, κατὰ τὸν σύνδεσμον τῶν ἰδεῶν, ἡ ἁμαρτία κατὰ τοῦ ἁγίου Πνεύματος δηλοῖ τὴν ἄρνησιν τῆς θεότητος τοῦ Ἰησοῦ Χριστοῦ· τὸ ἅγιον Πνεῦμα σημαίνει ἐνταῦθα τὸν Υἱὸν τοῦ Θεοῦ εἰς ἀντιδιαστολὴν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Τοῦτο διασαφεῖ δι' ἄλλων ὁμοίων χωρίων. Οὕτως ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου (στ'. 64): «τὸ Πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν». Ἐν τῷ χωρίῳ τούτῳ, λέγει, διὰ τῆς λέξεως Πνεῦμα ἐννοεῖται ἡ θεότης τοῦ Ἰησοῦ Χριστοῦ, διὰ δὲ τῆς λέξεως σὰρξ ἡ ἀνθρωπότης αὐτοῦ. Ἡ ἁμαρτία κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται· ἀλλ' ὃς ἂν μὴ ὁμολογήσῃ ἐν τοῖς ἔργοις αὐτοῦ τὸν Υἱὸν τοῦ Θεοῦ, τὴν θεότητα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, οὐ

Ἐνταῦθα ἀπαντᾷ περίεργος περιγραφὴ τοῦ πῶς οἱ ἀρχαῖοι χριστιανοὶ

τεύξεται ἀφέσεως. Ἐνταῦθα λέγει περὶ τοῦ μυστηρίου τῆς θείας εὐχαριστίας τάδε: «Περὶ τῆς τοῦ σώματος βρώσεως διαλεγόμενος, καὶ διὰ τοῦτο πολλοὺς ἑωρακὼς τοὺς σκανδαλισθέντας, φησὶν ὁ Κύριος· «τοῦτο ὑμᾶς σκανδαλίζει . . . πνεῦμά ἐστι καὶ ζωή». Καὶ ἐνταῦθα γὰρ ἀμφότερα περὶ ἑαυτοῦ εἴρηκε, σάρκα καὶ πνεῦμα· καὶ τὸ πνεῦμα πρὸς τὸ κατὰ σάρκα διέστειλεν, ἵνα μὴ μόνον τὸ φαινόμενον, ἀλλὰ καὶ τὸ ἀόρατον αὐτοῦ πιστεύσαντες μάθωσιν, ὅτι καὶ ἃ λεγει οὐκ ἔστι σαρκικά, ἀλλὰ πνευματικά· πόσοις γὰρ ἤρκει τὸ σῶμα πρὸς βρῶσιν, ἵνα καὶ τοῦ κόσμου παντὸς τοῦτο τροφὴ γένηται; ἀλλὰ διὰ τούτου τῆς εἰς οὐρανοὺς ἀναβάσεως ἐμνημόνευσε τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἵνα τῆς σωματικῆς ἐννοίας αὐτοὺς ἀφελκύσῃ, καὶ λοιπὸν τὴν εἰρημένην σάρκα βρῶσιν ἄνωθεν οὐράνιον, καὶ πνευματικὴν τροφὴν παρ' αὐτοῦ διδομένην μάθωσιν, «Ἃ γὰρ λελάληκα, φησίν, ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή», ἴσον τῷ εἰπεῖν, τὸ μὲν δεικνύμενον καὶ διδόμενον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, ἐστὶν ἡ σάρξ, ἣν ἐγὼ φορῶ· ἀλλ' αὕτη ὑμῖν καὶ τὸ ταύτης αἷμα παρ' ἐμοῦ πνευματικῶς δοθήσεται τροφή, ὥστε πνευματικῶς ἐν ἑκάστῳ ταύτην ἀναδίδοσθαι, καὶ γίνεσθαι πᾶσι φυλακτήριον εἰς ἀνάστασιν ζωῆς αἰωνίου. Οὕτω καὶ τὴν Σαμαρεῖτιν ἀφέλκων ὁ Κύριος ἀπὸ τῶν αἰσθητῶν πνεῦμα εἴρηκε τὸν Θεόν, ὑπὲρ τοῦ μηκέτι σωματικῶς αὐτήν, ἀλλὰ πνευματικῶς διανοεῖσθαι περὶ τοῦ Θεοῦ· οὕτω καὶ ὁ Προφήτης θεωρῶν τὸν Λόγον, τὸν γενόμενον σάρκα εἴρηκε· «Πνεῦμα προσώπου ἡμῶν Χριστὸς Κύριος· ἵνα μὴ ἐκ τοῦ φαινομένου νομίσῃ τις ἄνθρωπον ψιλὸν εἶναι τὸν Κύριον, ἀλλὰ καὶ Πνεῦμα ἀκούων, γινώσκει Θεὸν εἶναι τὸν ἐν σώματι ὄντα» (§. 19). Διὰ τῆς λέξεως πνευματικὸς ἐννοεῖ ὁ θεῖος διδάσκαλος, ὅτι ἐν τῷ σώματι καὶ τῷ αἵματι, ἅπερ παρίστανται ἡμῖν ἐν τῇ θείᾳ εὐχαριστίᾳ, οὐ δεχόμεθα μόνον σῶμα καὶ αἷμα, ἀλλὰ τὴν θεότητα ἡνωμένην τῇ ἀνθρωπότητι, τὴν τεθεωμένην ἀνθρωπότητα τοῦ Ἰησοῦ Χριστοῦ. Διὰ τῆς λέξεως πνεῦμα ἐννοεῖ τὴν θεότητα τοῦ Ἰησοῦ Χριστοῦ. Ἀποφαίνεται, ὅτι ἐν τῇ θείᾳ εὐχαριστίᾳ ὅλος ὁ Ἰησοῦς Χριστός ἐστι παρών· λέγει, ὅτι ἅπας ὁ κόσμος πιστεύει οὕτω, καὶ διὰ τούτου ἐφικνεῖται τοῦ σκοποῦ αὐτοῦ. Διὰ τοῦτο λέγει: «Καὶ ἐνταῦθα γὰρ ἀμφότερα περὶ ἑαυτοῦ εἴρηκε, σάρκα καὶ πνεῦμα (ἀνθρωπότητα καὶ θεότητα)· καὶ τὸ πνεῦμα πρὸς τὸ κατὰ σάρκα (τὴν θεότητα ἀπὸ τῆς ἀνθρωπότητος) διέστειλεν, ἵνα μὴ μόνον τὸ φαινόμενον (ἡ ἀνθρωπότης), ἀλλὰ καὶ τὸ ἀόρατον (τὴν θεότητα), ὅτι καὶ ἃ λέγει οὐκ ἔστι σαρκικά, ἀλλὰ πνευ-

διῆγον τὴν τετάρτην καὶ τὴν παρασκευὴν καθ' ἅπαν τὸ ἔτος, ἐξαιρέσει τῆς Πεντηκοστῆς καὶ τῶν πρὸ τοῦ Πάσχα ἡμερῶν ([1]).

Ἐν ταῖς τέσσαρσι πρὸς Σεραπίωνα ἐπιστολαῖς δείκνυται ἡ θεότης τοῦ Ἁγίου Πνεύματος. Ἐνταῦθα ἀναγινώσκομεν: «Εἰ γὰρ ἐφρόνουν ὀρθῶς περὶ τοῦ Λόγου, ἐφρόνουν ὑγιῶς καὶ περὶ τοῦ Πνεύματος, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον ὄν, παρ' Αὐτοῦ δίδοται τοῖς μαθηταῖς καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς Αὐτόν . . . Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζῶσαν ἐνέργειαν Αὐτοῦ καὶ δωρεάν, ἥτις ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ

ματικά (ὅτι οὐ δίδωσιν ἁπλῆν σάρκα, ἀλλὰ τὴν θεότητα αὐτοῦ ἡνωμένην ταύτῃ τῇ σαρκί, ὅπερ πραγματικῶς καθίστησι δυνατὸν ὅ,τι εἴη ἂν ἄνευ τούτου ἀδύνατον). Διὰ δὲ τοῦ: «Πόσοις γὰρ ἤρκει τὸ σῶμα πρὸς βρῶσιν;» ἐννοεῖ, ὅτι ὁ Κύριος οὐκ ἔλεγεν, ὅτι τὸ σῶμα Αὐτοῦ διενεμήθη μεταξὺ αὐτῶν ὑλικῶς, διότι οὕτως ἐνόησαν οἱ Ἰουδαῖοι τὸν Κύριον· ἐφέλκει τὴν προσοχὴν ἐπὶ τούτου, ὅτι τὸ πνευματικὸν μέρος, τὸ σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, τὸ ἡνωμένον τῇ θεότητι, πνεῦμα ὃν λαμβάνεται ὅλον, ἔτε λαμβάνεται. Ἡ λέξις πνεῦμα δηλοῖ ὁτὲ μὲν τὴν θεότητα τοῦ Ἰησοῦ Χριστοῦ, ὁτὲ δὲ τὴν ἀνθρωπότητα, ᾗ ἡ θεότης αὕτη ἥνωται, καθάπερ ἡ λέξις πνευματικὸς δηλοῖ σύναμα τὸν Θεῖον Λόγον ἐν τῷ Ἰησοῦ Χριστῷ καὶ τὴν ἕνωσιν τοῦ θείου μέρους τῷ ἀνθρωπίνῳ. Τοῦτο δείκνυται σαφέστατα ἐν τῷ συγγράμματι περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου, καὶ κατὰ Ἀρειανῶν κεφ. 16, ἔνθα λέγει: «Ἐδίδαξε γὰρ (ὁ Κύριος) ἡμᾶς ἐν τῇ εὐχῇ ἐν τῷ νῦν αἰῶνι αἰτεῖν τὸν ἐπιούσιον ἄρτον, τουτέστι τὸν μέλλοντα, οὗ ἀπαρχὴν ἔχομεν ἐν τῇ νῦν ζωῇ, τῆς σαρκὸς τοῦ Κυρίου μεταλαμβάνοντες, καθὼς αὐτὸς εἶπεν· ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστὶν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς· πνεῦμα γὰρ ζωοποιοῦν ἡ σάρξ ἐστι τοῦ Κυρίου. Διότι ἐκ Πνεύματος τοῦ ζωοποιοῦ συνελήφθη. Τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν». Ἐνταῦθα ὁ Ἀθανάσιος καλεῖ τὸν Ἰησοῦν Χριστὸν Πνεῦμα, διότι ἡ ἀνθρωπότης συνελήφθη ἐκ Πνεύματος (δηλ. ἐκ τῆς θεότητος τοῦ Υἱοῦ). Τοῦτο δείκνυσι τὴν σημασίαν τῆς πνευματικῆς τροφῆς τοῦ σώματος καὶ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ. Σ. Μ.—

([1]) Παρὰ Μιγνίῳ in Biblioth. T. 26. p. 1283, 1290.

παρὰ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς ὁμολογουμένου ἐκλάμπει, καὶ ἀποστέλλεται καὶ δίδοται (1).

Περὶ τῆς αὐτῆς ὑποθέσεως ποιοῦνται λόγον καὶ τὰ βιβλία περὶ Τριάδος καὶ ἁγίου Πνεύματος (2).

Οἱ δύο κατὰ Ἑλλήνων λόγοι, ὧν ὁ εἷς καλεῖται λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου, καὶ τῆς διὰ σώματος πρὸς ἡμᾶς ἐπιφανείας Αὐτοῦ (3), γραφέντες ὑπὸ τοῦ ἁγίου Ἀθανασίου, νέου ἔτι ὄντος [*], διὰ τὴν λέξιν καὶ τὴν ὑπόθεσιν ἑλκύουσιν ἐφ᾽ ἑαυτοὺς τὴν προσοχὴν τῶν νεωτέρων χρόνων. Ἐν τῷ πρώτῳ λόγῳ ἐκτίθησι τήν τε ἀρχὴν καὶ τὸ ἄλογον τῆς εἰδωλολατρείας, καὶ δείκνυσι τὴν ὁδὸν τὴν ἄγουσαν εἰς τὴν πιστὴν γνῶσιν τοῦ Θεοῦ, ἥτις ἐστὶν ἡ θεωρία τῆς ψυχῆς ἡμῶν καὶ ἡ τῆς ὁρωμένης φύσεως. Ἐν τῷ δευτέρῳ λόγῳ ὁ ἅγιος διδάσκαλος ἐκτίθησι τὴν ἀνάγκην τῆς ἐνσαρκώσεως τοῦ Θεοῦ Λόγου [α] καὶ τὰ σω-

(1) Παρὰ Μιγνίῳ in Biblioth. T. 26. p. 533, 580.

(2) Τὸ βιβλίον τοῦτο διεσώθη μόνον ἐν τῇ λατινικῇ μεταφράσει τοῦ Vigilii Tapsensis, παρὰ Μιγνίῳ 26, 1189—1216.

(3) Παρὰ Μιγνίῳ T. 25, 3-196. Ὁ δεύτερος λόγος ἐστὶν ἐν τῇ συριακῇ μεταφράσει τοῦ 563 ἔτ. Assemani B. O. T. 3. P. 1. p. 22. Maii Collect. vet. Auctor. V, 38.

[*] Ἦγε τότε τὸ κγ΄. περίπου ἔτος τῆς ἡλικίας αὐτοῦ, καὶ περὶ τὸ τιθ΄. ἔτος.

[α] Ἐν τῷ συγγράμματι τούτῳ καὶ ἐν ἄλλοις ὁ Θεῖος Πατὴρ λέγει, ὅτι ὁ Θεὸς καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐνηνθρώπησε α.] ἵνα ἀναγάγῃ τὸν ἄνθρωπον εἰς τὴν περὶ Θεοῦ ἀληθῆ γνῶσιν, β΄.] ἵνα καταστρέψῃ τὴν ἁμαρτίαν· οὐ μόνον ἡ ἁμαρτία ἔμελλε τυχεῖν τῆς θείας συγχωρήσεως, ἀλλὰ καὶ αὐτὴ ἡ ῥίζα αὐτῆς ἐκριζωθῆναι τῆς ἀνθρωπίνης καρδίας: «ἵνα, αὐτοῦ ἐνοικήσαντος ἐν τῇ σαρκί, τελείως ἡ ἁμαρτία ἐξωσθῇ τῆς σαρκός, καὶ ἡμεῖς ἐλεύθερον ἔχωμεν τὸ φρόνημα» (Λόγος Β΄. κατὰ Ἀρειαν. κεφ. 56), γ΄.] ἵνα ἀποδῷ τὴν ἀθανασίαν, δηλονότι τὴν ἐλπίδα καὶ τὴν συνείδησιν τῆς ἀθανασίας. Ἡ ἰσχύς, ἣν ὁ Σωτὴρ ἔδωκεν ἡμῖν, ἄγει ἡμᾶς πρὸς τὴν ἀθανασίαν· δ΄.] ἡ εἰδωλολατρεία εἶχε τὴν πηγὴν αὐτῆς ἐν τῇ ἁμαρτίᾳ· διὰ τῆς ἀφανίσεως τῆς ἁμαρτίας αὕτη ἔμελλεν ἀφανισθῆναι ἐν τῷ Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν. ε΄.] ὁ ἄνθρωπος ἔπεσεν ἐν τῇ δυνάμει τοῦ Σατανᾶ διὰ τῆς ἁμαρτίας, καὶ ἐποίει τὰ ἔργα τοῦ Σατανᾶ· τούτου ἀπηλλάγη ὑπὸ τοῦ Κυρίου: «Διὰ τὸ μαρτυρῆσαι ἄρα,

τήρια ἀποτελέσματα τοῦ σταυρικοῦ θανάτου. « Ὅθεν ὡς ἱερεῖον

καὶ ὑπὲρ ὑμῶν ἀναδέξασθαι θάνατον, καὶ διὰ τὸ ἀναστῆσαι τοὺς ἀνθρώπους, καὶ λῦσαι τὰ ἔργα τοῦ διαβόλου, ἐλήλυθεν ὁ Σωτήρ, καὶ αὕτη ἐστιν ἡ αἰτία τῆς ἐνσάρκου, παρουσίας Αὐτοῦ» (Λόγ. Β΄. κατὰ Ἀρειαν. κεφ. 55). ς΄.] Δουλικὸς φόβος τοῦ Θεοῦ κατεκράτησε τῶν ἀνθρώπων· τὸ θάρρος ἀπεδόθη αὐτοῖς διὰ τῆς ἀποστολῆς τοῦ Μονογενοῦς αὐτοῦ Υἱοῦ, ἣ ἐγένετο διὰ τὴν πρὸς αὐτοὺς ἀγάπην: «οὐκ ἂν παρέστη τῷ Πατρὶ ὁ ἄνθρωπος, εἰμὴ φύσει καὶ ἀληθινὸς ἦν αὐτοῦ Λόγος ὁ ἐνδυσάμενος τὸ σῶμα» (αὐτόθ. κεφ. 70.). ζ΄.] Ἦλθεν οὖν, ἵνα καταλλάξῃ ἡμᾶς πρὸς τὸν Πατέρα καὶ καταστήσῃ ἡμᾶς τέκνα Θεοῦ (Λόγ. Α΄. κατὰ Ἀρειαν. 37, 58). η΄.] Ὁ Ἰησοῦς Χριστὸς ἦλθεν, ἵνα δῷ ἡμῖν τὸ θεῖον Πνεῦμα: « . . . ἄλλως γὰρ οὐκ ἂν γένοιντο υἱοί, ὄντες φύσει κτίσματα, εἰμὴ τοῦ ὄντος φύσει καὶ ἀληθινοῦ Υἱοῦ τὸ Πνεῦμα ὑποδέξονται. Διό, ἵνα τοῦτο γένηται, ὁ Λόγος σὰρξ ἐγένετο, ἵνα τὸν ἄνθρωπον δεκτικὸν θεότητος ποιήσῃ» (Λόγ. Β΄. κατὰ Ἀρ. κεφ. 59). θ΄.] Ἦλθεν, ἵνα δῷ ἡμῖν τὸ ἅγιον Πνεῦμα: «συνάψαι τὸν ἄνθρωπον τῷ Πνεύματι τῷ ἁγίῳ» (Λόγ. Α΄. κατὰ Ἀρ. κεφ. 49). ι.] Ἦλθεν, ἵνα ἐπαναγάγῃ πάντη εἰς τὴν ἀρχήν. Ὁ Ἀθανάσιος λέγει ! « . . . τετελείωται οὖν καὶ ἀπεκατεστάθη, ὥσπερ ἦν καὶ κατὰ τὴν ἀρχὴν γεγονός, τὸ ἀνθρώπων γένος, καὶ μείζονι μᾶλλον χάριτι. Ἀναστάντες γὰρ ἐκ νεκρῶν, οὐκ ἔτι φοβούμεθα τὸν θάνατον, ἀλλ' ἐν Χριστῷ βασιλεύομεν ἀεὶ ἐν οὐρανοῖς». ιά.] Ἦλθεν, ἵνα ἐπαναγάγῃ τὴν ἑνότητα μεταξὺ τῶν ἀνθρώπων. Ἑρμηνεύων ὁ θεῖος διδάσκαλος τὸ τοῦ Ἰωάννου: « Καθὼς σὺ ἐν ἐμοί, κἀγὼ ἐν σοί» λέγει: « Ὅταν δέ, φησιν, οὗτοι τελειωθῶσιν οὕτω, τότε γινώσκει ὁ κόσμος, ὅτι σὺ μὲ ἀπέστειλας. Εἰ γὰρ μὴ ἤμην ἐλθὼν καὶ φορέσας τὸ τούτων σῶμα, οὐδεὶς ἂν αὐτῶν ἐτελειώθη, ἀλλ' ἔμενον οἱ πάντες φθαρτοί. Ἐνέργησον τοίνυν ἐν αὐτοῖς, Πάτερ· καὶ ὥσπερ δέδωκάς μοι τοῦτο φορέσαι, δὸς αὐτοῖς τὸ Πνεῦμά σου, ἵνα καὶ οὗτοι ἐν τούτῳ ἓν γένωνται, καὶ τελειωθῶσιν ἐν ἐμοί. Ἡ γὰρ τούτων τελείωσις δείκνυσιν ἐπιδημίαν γεγενῆσθαι τοῦ Σοῦ Λόγου· καὶ ὁ κόσμος δὲ βλέπων τούτους τελείους καὶ θεοφορουμένους, πιστεύσει πάντως, ὅτι Σὺ μὲ ἀπέστειλας, καὶ ἐπεδήμησα. Πόθεν γὰρ τούτοις ἡ τελείωσις, εἰμὴ ἐγὼ ὁ Σὸς Λόγος, τὸ σῶμα τούτων λαβών, ἐγενόμην ἄνθρωπος, καὶ ἐτελείωσα τὸ ἔργον, ὃ δέδωκάς μοι, Πάτερ ; Τετελείωται δὲ τὸ ἔργον, ὅτι, λυτρωθέντες ἀπὸ τῆς ἁμαρτίας οἱ ἄνθρωποι, οὐκ ἔτι μένουσι νεκροί· ἀλλὰ καὶ θεοποιηθέντες ἔχουσιν, ἐν ἡμῖν βλέποντες, ἐν ἀλλήλοις τὸν σύνδεσμον τῆς ἀγάπης» (λόγ. Γ΄. κατὰ Ἀρ. κεφ. 23). Σ. Μ.

καὶ θῦμα παντὸς ἐλεύθερον σπίλου, ὃ αὐτὸς ἑαυτῷ ἔλαβε σῶμα προσάγων εἰς θάνατον, ἀπὸ πάντων εὐθὺς τῶν ὁμοίων ἠφάνιζε τὸν θάνατον τῇ προσφορᾷ τοῦ καταλλήλου » (¹) [*].

(¹) Patrolog. Migne 25, 112.

[*] Ἐν τῷ κ΄. κεφαλ. τοῦ συγγράμματος τούτου λέγει: «Ἐπειδὴ δὲ καὶ τὸ ὀφειλόμενον παρὰ πάντων ἔδει λοιπὸν ἀποδοθῆναι· ὠφείλετο καὶ πάντας, ὡς προεῖπον, ἀποθανεῖν δι' ὃ μάλιστα καὶ ἐπεδήμησε· τούτου ἕνεκεν μετὰ τὰς περὶ τῆς Θεότητος αὐτοῦ ἐκ τῶν ἔργων ἀποδείξεις, ἤδη λοιπὸν καὶ ὑπὲρ πάντων τὴν θυσίαν ἀνέφερεν, ἀντὶ πάντων τὸν ἑαυτοῦ ναὸν εἰς θάνατον παραδιδούς, ἵνα τοὺς μὲν πάντας ἀνυπευθύνους καὶ ἐλευθέρους τῆς ἀρχαίας παραβάσεως ποιήσῃ, δείξῃ δὲ ἑαυτὸν καὶ θανάτου κρείττονα, ἀπαρχὴν τῆς τῶν ὅλων ἀναστάσεως τὸ ἴδιον σῶμα ἄφθαρτον ἐπιδεικνύμενος . . . . Καὶ συνέβαινεν ἀμφότερα ἐν ταὐτῷ γενέσθαι παραδόξως· ὅτι τε ὁ πάντων θάνατος ἐν τῷ κυριακῷ σώματι ἐπληροῦτο, καὶ ὁ θάνατος καὶ ἡ φθορὰ διὰ τὸν συνόντα Λόγον ἐξηφανίζετο. Θανάτου γὰρ ἦν χρεία, καὶ θάνατον ὑπὲρ πάντων ἔδει γενέσθαι, ἵνα τὸ παρὰ πάντων ὀφειλόμενον γένηται . . . » Οἱ Ἰουδαῖοι καὶ οἱ ἐθνικοὶ ἔλεγον, ὅτι ὁ θάνατος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὑπῆρξεν ἐπονείδιστος. Ὁ Ἀθανάσιος πρὸς ἔλεγχον αὐτῶν ἐκτίθησι πάσας τὰς περιστάσεις, αἵτινες παρωμάρτησαν τῷ θανάτῳ τούτῳ, ἐν σχέσει πρὸς τὸν σκοπὸν τῆς ἐπιφανείας τοῦ Κυρίου καὶ λέγει: « . . . . τὸ δὲ ὑπὸ τοῦ Σωτῆρος γενόμενον θεῖον ἀληθῶς καὶ ἄξιον τῆς αὐτοῦ Θεότητος διὰ πολλά. Πρῶτον μέν, ὅτι ὁ συμβαίνων τοῖς ἀνθρώποις θάνατος, κατὰ ἀσθένειαν τῆς αὐτῶν φύσεως αὐτοῖς παραγίνεται· οὐ δυνάμενοι γὰρ ἐπὶ πολὺ διαμένειν, τῷ χρόνῳ διαλύονται . . . . ὁ δὲ Κύριος οὐκ ἀσθενής, ἀλλὰ Θεοῦ δύναμις, καὶ Θεοῦ Λόγος ἐστὶ καὶ αὐτοζωή. Εἰ μὲν οὖν ἦν ἰδίᾳ που, καὶ κατὰ τὴν συνήθειαν τῶν ἀνθρώπων ἀποθέμενος τὸ σῶμα ἐν κλίνῃ, ἐνομίσθη ἂν καὶ αὐτὸς κατὰ τὴν τῆς φύσεως ἀσθένειαν τοῦτο παθών, καὶ μηδὲν ἔχων πλέον τῶν ἄλλων ἀνθρώπων· ἐπειδὴ δὲ καὶ ζωὴ ἦν καὶ Θεοῦ Λόγος, καὶ ἔδει τὸν ὑπὲρ πάντων γενέσθαι θάνατον· διὰ τοῦτο, ὡς μὲν ζωὴ καὶ δύναμις ὤν, συνίσχυεν ἐν αὐτῷ τὸ σῶμα· ὡς δὲ ὀφείλοντος γενέσθαι τοῦ θανάτου οὐχ' ἑαυτῷ, ἀλλὰ παρ' ἑτέρων, ἐλάμβανε τὴν πρόφασιν τοῦ τελειῶσαι τὴν θυσίαν· ἐπεὶ μηδὲ νοσεῖν ἔδει τὸν Κύριον, τὸν τῶν ἄλλων τὰς νόσους θεραπεύοντα· ἀλλ' οὐδὲ ἐξασθενῆσαι ἔδει πάλιν τὸ σῶμα, ἐν ᾧ καὶ τὰς τῶν ἄλλων ἀσθενείας ἰσχυροποίει· Διὰ τί οὖν καὶ τὸν θάνατον,

Ἐν τῇ ἐπιστολῇ πρὸς τὸν ἐπίσκοπον Ἐπίκτητον, τῇ ἐπισπασαμένῃ ἰδιαζόντως τὴν προσοχὴν τῶν ἀρχαίων(¹), δείκνυται,

ὥσπερ καὶ τὸ νοσεῖν, οὐκ ἐκώλυσεν; ὅτι διὰ τοῦτο ἔσχε τὸ σῶμα, καὶ ἀπρεπὲς ἦν κωλῦσαι, ἵνα μὴ καὶ ἡ ἀνάστασις ἐμποδισθῇ. . . . . Τῆς δὲ ἀναστάσεως προηγεῖσθαι δεῖ θάνατον, ἐπεὶ οὐκ ἂν εἴη ἀνάστασις, μὴ προηγουμένου θανάτου. Ὅθεν εἰ κρύφα που ἐγεγόνει τοῦ σώματος ὁ θάνατος, οὐ φαινομένου τοῦ θανάτου, οὐδὲ ἐπὶ μαρτύρων γενομένου, ἀφανὴς καὶ ἀμάρτυρος καὶ ἡ τούτου ἀνάστασις. Ἢ διὰ τί τὴν μὲν ἀνάστασιν ἐκήρυττεν ἀναστάς, τὸν δὲ θάνατον ἀφανῶς ἐποίει γενέσθαι; Ἢ διὰ τί τοὺς μὲν δαίμονας ἐπ᾽ ὄψει πάντων ἀπήλαυνε, τόν τε ἐκ γενετῆς τυφλὸν ἀναβλέπειν ἐποίει, καὶ τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν, ἵνα δι᾽ αὐτῶν πιστευθῇ Λόγος Θεοῦ· τὸ δὲ θνητὸν οὐκ ἐπ᾽ ὄψει πάντων ἄφθαρτον ἐδείκνυεν, ἵνα πιστευθῇ αὐτὸς ὢν ἡ ζωή;... Πρέπων οὖν ἄρα καὶ ἁρμόζων ὁ ἐν τῷ σταυρῷ γέγονε θάνατος ὑπὲρ ἡμῶν· καὶ ἡ αἰτία τούτου εὔλογος· ἐφάνη κατὰ πάντα, καὶ δικαίους ἔχει τοὺς λογισμούς, ὅτι μὴ ἄλλως, ἀλλὰ διὰ τοῦ σταυροῦ ἔδει γενέσθαι τὴν σωτηρίαν τῶν πάντων. Καὶ γὰρ οὐδ᾽ οὕτως ἀφανῆ ἑαυτὸν οὐδὲ ἐν τῷ σταυρῷ ἀφῆκεν. . . . . Ἕνεκα μὲν οὖν τοῦ δειχθῆναι τὸν θάνατον ἐν τῷ σώματι, τριταῖον ἀνέστησε τοῦτο· ἵνα δὲ μὴ ἐπὶ πολὺ διαμεῖναν καὶ φθαρὲν τέλεον ὕστερον ἀναστήσας ἀπιστηθῇ, ὡς οὐκ αὐτό, ἀλλ᾽ ἕτερον σῶμα φέρων· ἔμελλε γὰρ ἄν τις καὶ διὰ τὸν χρόνον ἀπιστεῖν τῷ φαινομένῳ, καὶ ἐπιλανθάνεσθαι τῶν γενομένων· διὰ τοῦτο οὐ πλείω τῶν τριῶν ἡμερῶν ἠνέσχετο, οὐδὲ ἐπὶ πολὺ τοὺς ἀκούσαντας αὐτοῦ περὶ τῆς ἀναστάσεως παρείλκυσεν· ἀλλ᾽ ἔτι τῶν ἀκοῶν αὐτῶν ἔναυλον ἐχουσῶν τὸν λόγον, καὶ ἔτι τῶν ὀφθαλμῶν αὐτῶν ἐκδεχομένων, καὶ τῆς διανοίας αὐτῶν ἠρτημένης, καὶ ζώντων ἐπὶ γῆς ἔτι, καὶ ἐπὶ τόπων ὄντων τῶν θανατωσάντων, καὶ μαρτυρούντων περὶ τοῦ θανάτου τοῦ κυριακοῦ σώματος, αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς ἐν τριταίῳ διαστήματι τὸ γενόμενον νεκρὸν σῶμα ἔδειξεν ἀθάνατον καὶ ἄφθαρτον· καὶ ἀνεδείχθη πᾶσιν, ὅτι οὐκ ἀσθενείᾳ φύσεως τοῦ ἐνοικοῦντος Λόγου τέθνηκε τὸ σῶμα, ἀλλ᾽ ἐπὶ τῷ τὸν θάνατον ἐξαφανισθῆναι ἐν αὐτῷ τῇ δυνάμει τοῦ Σωτῆρος» (κεφ. 21—26). Σ. Μ.

(¹) Ἡ ἐπιστολὴ αὕτη εὕρηται παρ᾽ Ἐπιφανίῳ (αἵρ. οζ΄.)· χωρία δ᾽ ἐκ ταύτης ἀπαντῶσι παρὰ Θεοδωρήτῳ (Διάλ. Α΄. 30, 39, 40. Β΄. σελ. 159, 160), παρὰ Κυρίλλῳ (ἐπιστ. 38. σελ. 140. ἐπιστ. 134, σελ. 109) παρὰ τῷ Πάπᾳ Λέοντι (ep. 134 ad Leonem imperat. p. 107), ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Ἐφέσῳ Συνόδου καὶ ἐν τῇ πρώτῃ πράξει τῆς ἐν Χαλκηδόνι.

ὅτι ἐν τῷ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ οὔτε ἡ Θεότης μετεβλήθη εἰς τὴν ἀνθρωπότητα, οὔτε ἡ ἀνθρωπότης εἰς τὴν Θεότητα, καὶ ὅτι ἡ σὰρξ Αὐτοῦ ἦν ἀληθῶς ἀνθρωπίνη σάρξ, ληφθεῖσα ἐν τῇ γαστρὶ τῆς Παρθένου Μαρίας, ὁ δὲ Λόγος, ἀναλαβὼν ἐν τῷ προσώπῳ Αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, οὐκ ἀντικατέστησε τὴν λογικὴν ψυχήν (1).

Ἡ αὐτὴ ὑπόθεσις, δηλονότι ἡ ἐνσάρκωσις τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἐν ἐκτάσει ἀναπτύσσεται ἐν τοῖς κατὰ Ἀπολιναρίου δύο βιβλίοις, ἅτινα ὑπῆρχον γνωστὰ τῷ ἁγίῳ Πρόκλῳ καὶ ἄλλοις ἀρχαίοις (2).

Ἐκ τῶν τριῶν βιβλίων τοῦ ἁγίου Ἀθανασίου πρὸς Νουατιανούς, τοὺς καλοῦντας ἑαυτοὺς Καθαρούς, διεσώθησαν μόνον τεμάχιά τινα. Ὁ ἅγιος Ἀθανάσιος διδάσκει ἐνταῦθα: «Ὥσπερ ἄνθρωπος, ὑπὸ ἀνθρώπου ἱερέως βαπτιζόμενος, φωτίζεται τῇ τοῦ ἁγίου Πνεύματος Χάριτι, οὕτω καὶ ὁ ἐξομολογούμενος ἐν μετανοίᾳ, διὰ τοῦ ἱερέως λαμβάνει τὴν ἄφεσιν χάριτι Χριστοῦ (3).

§. 116. Συγγράμματα ἱστορικο-δογματικὰ καὶ ἑρμηνεῖαι εἰς τὴν ἁγίαν Γραφήν.

II. Ἐν πολλοῖς τῶν ἑαυτοῦ συγγραμμάτων ὁ ἅγιος Ἀθανάσιος περιέγραψε τὰς ταραχὰς καὶ τὰ ἔργα τῶν Ἀρειανῶν, προστιθεὶς καὶ ἀπολογητικάς τινας σημειώσεις ὑπὲρ τῆς ἀληθείας τοῦ Χριστοῦ. Τὰ ἀπολογητικὰ ἅμα δὲ καὶ ἱστορικὰ αὐτοῦ συγγράμματά εἰσι λίαν σπουδαῖα τῇ ἱστορίᾳ (4). Ὑψηλὸν πρότυπον ποιμαντικῆς ἀπολογίας

(1) Migne. 26. p. 1047—1068.

(2) Migne 26. p. 1091-1168.

(3) Migne Patrol. 26. p. 1315.

(4) Τῶν συγγραμμάτων τούτων ἐγένετο μνεία ἐν τῇ ἱστορίᾳ τοῦ Ἀθανασίου. Ταῦτα δ' εἰσι κυρίως α'.] ἡ ἱστορία τῶν Ἀρειανῶν πρὸς τοὺς μοναχούς· β'.] ἡ ἐγκύκλιος ἐπιστολή· γ'.] ἡ ἀπολογία κατὰ Ἀρειανῶν· δ'.] ἡ ἀπολογία πρὸς Κωνστάντιον· ε'.] ἡ ἀπολογία περὶ τῆς φυγῆς αὐτοῦ· ς'.] ἡ ἐπιστολὴ πρὸς τοὺς ἐν Ἀφρικῇ ἐπισκόπους· ζ'.] ἡ ἐπιστολὴ περὶ τῶν γενομένων ἐν τῇ Ἀριμίνῳ τῆς Ἰταλίας, καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας συνόδων· η'.] περὶ τοῦ θανάτου τοῦ Ἀρείου· θ'.] περὶ Διονυσίου τοῦ ἐπισκόπου Ἀλεξανδρείας· ι'.] ὁ πρὸς τοὺς Ἀντιοχεῖς τόμος· ια'.] ἡ ἐπιστολὴ πρὸς Ρουφινιανόν.

ἐστὶν ἡ ἐπιστολὴ τοῦ ἁγίου Ἀθανασίου πρὸς τὸν Αὐτοκράτορα Κωνστάντιον. Τὸ σύγγραμμα τοῦτό ἐστι σπουδαῖον οὐ μόνον διὰ τὴν λέξιν, ἀλλὰ μάλιστα, διότι ἐν τῷ προσώπῳ τοῦ Ἀθανασίου παρίστησιν ἡμῖν μεγαλοπρεπῆ εἰκόνα δικαίου ποιμένος, ἠρεμοῦντος μεταξὺ τῶν κυμάτων, τῶν ὑψουμένων ὑπὸ τῆς συκοφαντίας τοῦ κόσμου, καὶ ὀρθῶς κατανοοῦντος τὴν ἰδίαν αὐτοῦ ἀποστολήν.

III. Ἐν τοῖς συγγράμμασι, τοῖς ἀναφερομένοις εἰς τὴν ἑρμηνείαν τῆς Γραφῆς, πρὸ πάντων λόγου ἄξιόν ἐστιν ἡ ἑορταστικὴ ἐπιστολὴ τοῦ ἁγίου, ἀφικομένη μέχρις ἡμῶν οὐχὶ ἀκεραία, καὶ ἀπὸ πολλοῦ ταχθεῖσα ἐν τῷ ἀριθμῷ τῶν ἐκκλησιαστικῶν κανόνων(1). Ἡ ἐπιστολὴ αὕτη ἐστὶν ἐξ ἐκείνων, ἅς, κατὰ τὴν μαρτυρίαν τοῦ Ἱερωνύμου (2), ἔγραψεν ὁ ἅγιος Ἀθανάσιος ἐκ τῆς ἐρήμου εἰς παραμυθίαν τοῦ μείναντος ὀρφανοῦ ποιμνίου αὐτοῦ, καὶ ὧν ἡ συλλογὴ διεσώθη ἐν τῇ συριακῇ μεταφράσει (3). Ἡ ἐπιστολὴ αὕτη ἐστι λίαν σπουδαία κατὰ τοῦτο, ὅτι ἐν αὐτῇ ἀπαριθμοῦνται τὰ βιβλία τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης. Ὁ ἅγιος Ἀθανάσιος ὀνομάσας πάντα τὰ κανονικὰ βιβλία, καὶ ἰδίως τὰ ἔτι καὶ νῦν ὄντα γνωστά, προστίθησι: «Ταῦτα πηγαὶ τοῦ σωτηρίου, ὥστε τὸν διψῶντα τῶν ἐν τούτοις ἐμφορεῖσθαι λογίων· ἐν τούτοις μόνοις τὸ τῆς εὐσεβείας

(1) Βιβλ. καν. σελ. 337. 339. S. Athan. Op. T. I. p. 958.

(2) De vir. illustr. c. 87.

(3) Παρὰ Κοσμᾷ τῷ Ἰνδικοπλεύστῃ ἀπαντῶσιν ἀποσπάσματα ἐκ τοῦ ἑλληνικοῦ κειμένου, ἐκδοθέντος ὑπὸ Μοντφαουκονίου ἐν τῇ αὐτοῦ collect. nos. Patrum Giæco. T. 2. p. 316. Ἡ δὲ λατινικὴ μετάφρασις τοῦ συριακοῦ κειμένου μετὰ τῶν ἀποσπασμάτων τοῦ Κοσμᾶ ἐξεδόθη ὑπὸ Μαΐου in VI tom. N. Bibl. Romæ, 1885, καὶ παρὰ Μιγνίῳ in 26 tom. Patrol. Ἐν δὲ τῷ συνοδ. χειρογρ. Nο 20. τῷ περιέχοντι μετάφρασιν τεσσάρων λόγων τοῦ Ἀθανασίου κατὰ Ἀρείου ἀναφέρεται ἐπιστολὴ τοῦ μεγάλου Ἀθανασίου «περὶ τῆς ἑορτῆς τοῦ Πάσχα», κειμένη καὶ ἐν τῷ Μηνολογίῳ κατὰ μῆνα Μάϊον Νο 180. 303. Τὸ δ' ἑλληνικὸν πρωτότυπον ὑπάρχει γνωστὸν ὑπὸ τὸ ὄνομα τοῦ Χρυσοστόμου (ed Montfaucon. T. 8. p. 964). Ἀλλ' ἡ ἐπιστολὴ αὕτη, ἢ ὁ λόγος οὗτος οὐκ ἀνήκει οὔτε εἰς τὸν ἅγιον Χρυσόστομον, οὔτε εἰς τὸν ἅγιον Ἀθανάσιον. Αἱ ἀπαντῶσαι ἐνταῦθα δείξεις τοῦ Πάσχα διὰ τέσσαρα ἔτη ἀναφέρονται εἰς τὸ 672—675 ἔτ. (Ideler Handbuch d. Chronologie, 1, 424.).—

διδασκαλεῖον εὐαγγελίζεται. Μηδεὶς τούτοις ἐπιβαλλέτω, μηδὲ τούτων ἀφαιρείσθω τι». Ἔπειτα γράφει: «ἔστι καὶ ἕτερα βιβλία τούτων ἔξωθεν, οὐ κανονιζόμενα μέν, τετυπωμένα δὲ παρὰ τῶν Πατέρων ἀναγινώσκεσθαι τοῖς ἄρτι προσερχομένοις καὶ βουλομένοις κατηχεῖσθαι τὸν τῆς εὐσεβείας λόγον». Ἐν τοῖς τοιούτοις βιβλίοις, ἐκτὸς τῆς Σοφίας τοῦ Σολομῶντος, τῆς Σοφίας τοῦ υἱοῦ Σειράχ, τῆς Ἐσθὴρ καὶ τοῦ Τωβίου, κατατάσσει καὶ τὴν οὕτω καλουμένην «Διδαχὴν τῶν Ἀποστόλων» καὶ «τὸν Ποιμένα»(1).

Ἡ δὲ Σύνοψις τοῦ Ἀθανασίου, περὶ τῆς αὐτῆς διαλαμβάνουσα ὑποθέσεως τῇ Ἑορταστικῇ ἐπιστολῇ, φαίνεται μὴ ἀνήκουσα εἰς τὸν ἅγιον Ἀθανάσιον. Οἱ κατὰ τῆς γνησιότητος αὐτῆς λόγοι εἰσὶ σπουδαῖοι: α'.] ἡ σιωπὴ τοῦ μακαρίου Ἱερωνύμου ἐκεῖ, ἔνθα ποιεῖται λόγον περὶ τοιούτου εἴδους ἀρχαίων συγγραμμάτων· β'.] ἡ σιωπὴ ἄλλων ἀρχαίων συγγραφέων, καὶ αὐτοῦ ἔτι τοῦ Οἰκουμενίου, ὅστις εἰς ἀπόδειξιν τῆς γνησιότητος τῆς Ἀποκαλύψεως μνημονεύει τῆς Ἑορταστικῆς ἐπιστολῆς τοῦ ἁγίου Ἀθανασίου, οὐδὲν λέγων περὶ τῆς Συνόψεως αὐτοῦ· γ'.] ἐν τῇ Συνόψει οὐ τάσσεται μεταξὺ τῶν ὠφελίμων βιβλίων τὸ τοῦ Ἑρμᾶ, τὸ μνημονευόμενον ἐν τῇ Ἐπιστολῇ· ἐν τέλει τῆς Συνόψεως ἀπαριθμοῦνται βιβλία τινα ἄξια ψόγου, περὶ ὧν οὐδὲ λέξις ἐν τῇ Ἐπιςολῇ. Ἐν τοῖς ἀποκρύφοις τῆς Καινῆς Διαθήκης τάσσονται τὰ Κλημέντια—σύγγραμμα μεταγενέστερον· δ'.] ἐν τῇ Συνόψει ἀναφέρονται ἰδέαι τινες οὐχὶ ὀρθαί, π. χ. περὶ τοῦ γάμου τῶν συγγενῶν οὐ γίγνεται λόγος, ὥσπερ παρὰ τῷ Μωϋσεῖ· ε'.] τέλος ἡ διαφορὰ τῆς Συνόψεως κατὰ τὰ ἀπόγραφά ἐστι τοιαύτη, ὥστε ἀδύνατον εὑρεῖν τὸ γνήσιον, ὅπερ ἐξῆλθε τῶν χειρῶν τοῦ συγγραφέως. Τοῦτο βεβαίως οὐκ ἠδύνατο συμβῆναι ἐν τῷ συγγράμματι μεγάλου Διδασκάλου παρὰ πᾶσι σεβαστοῦ (2).

(1) Ἴδ. βιβλ. κανόν.

(2) Ἡ Σύνοψις τοῦ Ἀθανασίου ἑλληνιστὶ παρὰ Μοντφαουκονίῳ. Περὶ τῶν διαφορῶν αὐτῆς κατὰ τὰ ἀπόγραφα μετὰ τὸν Μοντφαουκόνιον, τάξαντα ταύτην ἐν τοῖς ἀμφιβόλοις συγγράμασι τοῦ Ἀθανασίου, ἴδ. *Lambecii* comment. 3, 32. Cum notis *Collarii*, *Bandini* in Catalogo cod. Bibl. Medic. Lavren. 1, 87.—

Ἡ ἐπιστολὴ πρὸς Μαρκελλῖνον περὶ τῶν ψαλμῶν περιέχει ζωηρὰν ἐξεικόνισιν τῆς ἀξίας τῶν ψαλμῶν, τὰς διαιρέσεις αὐτῶν, τὰς σχέσεις αὐτῶν πρὸς τὰς διαφόρους καταστάσεις τῆς ψυχῆς, καὶ τέλος διδασκαλίαν περὶ τοῦ πῶς δεῖ ᾄδειν αὐτούς. Ἐν τῇ βραχείᾳ μέν, ἀλλ᾽ ἐξαιρέτῳ ἐπιθεωρήσει τῶν ψαλμῶν γίγνεται λόγος περὶ τῆς συγγραφῆς καὶ τοῦ συγγραφέως τῆς βίβλου τῶν ψαλμῶν, κατὰ τὰ Ἑξαπλᾶ. Ὅσον ἐσέβοντο οἱ ἀρχαῖοι τὸ πρῶτον τούτων τῶν συγγραμμάτων, δῆλον ἐκ τούτου, ὅτι προτέτακται τῆς βίβλου τῶν ψαλμῶν ἐν τῷ ἀρχαιοτάτῳ Ἀλεξανδρινῷ ἀπογράφῳ τῆς ἁγίας Γραφῆς (τοῦ δ΄. αἰῶνος), καὶ εὕρηται ἐν πᾶσι σχεδὸν τοῖς ἀρχαίοις ἀπογράφοις τοῦ Ψαλτηρίου.

Οἱ ψαλμοὶ ἦσαν τὸ προσφιλὲς ἀνάγνωσμα τοῦ ἁγίου Ἀθανασίου, καὶ πάντων τῶν εὐσεβῶν τῶν συγχρόνων αὐτῷ. Ὁ ἅγιος Ἀθανάσιος ἔγραψεν ἑρμηνείαν αὐτῶν ἐν δυσὶ συγγράμμασιν. Ἡ ἐξήγησις εἰς τοὺς ψαλμοὺς περιέχει κατὰ τὸ μᾶλλον ἢ ἧττον λεπτομερῆ ἑρμηνείαν ἑκάστου στίχου τῶν ψαλμῶν, ἔνθα συχνότερον ἀπαντῶσι καὶ ἐφαρμογαὶ πρὸς χριστιανικὰ ἀντικείμενα. Ἐπιτομαὶ ταύτης τῆς συγγραφῆς εὑρίσκονται ἐν τῷ Ἀλεξανδρινῷ χρονικῷ, παρὰ τῷ ἁγίῳ Γερμανῷ τῷ Πατριάρχῃ καὶ ἄλλοις. Τὸ ἕτερον σύγγραμμα καλεῖται ἑρμηνεία εἰς τὰς ἐπιγραφὰς τῶν ψαλμῶν, καὶ ἦν ἤδη γνωστὸν τῷ Ἱερωνύμῳ. Ἐνταῦθα προτίθεται συντομωτάτη παράφρασις τῶν λέξεων τοῦ πρωτοτύπου, καὶ πολλάκις ἀλληγορική· ἀλλὰ πρὸ παντὸς ἄλλου ἀξιοσημείωτος ἐνταῦθα ἡ ἀνάγνωσις τῶν ἑβραϊκῶν ὀνομάτων καὶ λέξεων (1).

Ὁ Φώτιος λέγει περὶ τοῦ ἁγίου Ἀθανασίου: «πεποίηται δὲ αὐτῷ καὶ εἰς τὸν Ἐκκλησιαστὴν καὶ εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων ὑπομνήματα, ὥσπερ καὶ εἰς τὸν Ψαλτῆρα, καὶ ἐν ἑτέροις πολλοῖς». Νῦν εἰσι γνωστὰ βραχέα τεμάχια τῶν ἑρμηνειῶν αὐτοῦ εἰς τὸν Ἰώβ,

(1) Ἐν τοῖς σλαβικοῖς χειρογράφοις τοῦ ιά. καὶ τῶν μετὰ ταῦτα αἰώνων εὕρηται ἑρμηνεία τοῦ ἁγίου Ἀθανασίου εἰς τοὺς ψαλμούς. Ἐν τοῖς ἑλληνικοῖς χειρογράφοις αὕτη φέρεται ὑπὸ τὸ ὄνομα τοῦ Ἀλεξανδρείας ἁγίου Κυρίλλου· σπανίως δ᾽ ἀπαντᾷ καὶ ὑπὸ τὸ ὄνομα τοῦ ἁγίου Ἀθανασίου. Patrol. T. 27. p. 605—608.—

εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, εἰς τὸν Ματθαῖον, καὶ τὸν Λουκᾶν.—

§. 117. Συγγράμματα διδακτικά· συγγράμματα ὑποβολιμαῖα.

IV] Ἐκ τῶν διδακτικῶν συγγραμμάτων τοῦ ἁγίου Ἀθανασίου ἡ ἐπιστολὴ πρὸς Ἀμμοῦν μονάζοντα κατὰ τῶν ψεγόντων τὸν γάμον καὶ περὶ τῶν νυκτερινῶν ἀκαθαρσιῶν, καὶ ἡ ἐπιστολὴ πρὸς Ρουφινιανὸν περὶ τοῦ πῶς δεῖ δέχεσθαι τοὺς αἱρετικοὺς ἐν τῇ Ἐκκλησίᾳ, εἰσὶν ἔξοχοι πνευματικαὶ μελέται. Ἓν τῶν ἀρίστων συγγραμμάτων κατὰ τὴν λέξιν ἐστὶν ἡ ἐπιστολὴ πρὸς Δρακόντιον, κρυβέντα ἐν τῇ ἐρήμῳ, ὅπως μὴ ἀναλάβῃ τὴν φροντίδα τοῦ λαοῦ, οὗ ἐξελέγη ἐπίσκοπος· Ἡ ἐπιστολὴ αὕτη περιέχει νουθεσίας περὶ μὴ κρύπτειν τὸ τάλαντον ἐπὶ βλάβῃ τῆς ἰδίας σωτηρίας, ἐκτιμᾶν τὰς προσδοκίας τῶν ἀδελφῶν, καὶ τὴν σπουδαιότητα τοῦ ἀξιώματος, εἰς ὃ προωρίσθη, καὶ διὰ μνήμης ἔχειν, ὅτι ὡς ἐπὶ τοῦ ἐπισκοπικοῦ θρόνου δύναταί τις εἶναι μοναχός, οὕτω καὶ ἐν τῇ ἐρήμῳ δύναται ἔχειν μόνον τὸ ὄνομα τοῦ μοναχοῦ.

Ἐκ τῶν διδακτικωτάτων συγγραμμάτων τοῦ ἁγίου Ἀθανασίου ἐστὶν ὁ βίος τοῦ μεγάλου Ἀντωνίου, συγγραφεὶς ὑπ' αὐτοῦ τῷ 365. Ὁ μακάριος Αὐγουστῖνος λέγει περὶ ἑαυτοῦ, ὅτι ἡ βιογραφία αὕτη πλεῖστον ὅσον συνετέλεσεν εἰς τὴν ἐπιστροφὴν αὐτοῦ ἀπὸ τῆς ἀνειμένης ζωῆς([1]). Ὁ δὲ ἅγιος Χρυσόστομος συμβουλεύει πᾶσιν ἀδιακρίτως ἀναγινώσκειν τὸν βίον τοῦ Ἀντωνίου([2]). Τὸ σύγγραμ-

([1]) Confession. lib. VIII. c. 13, 19, 28.

([2]) Ὁμιλ. ή. εἰς Ματθαῖον: «Εἰ δέ τις οὐδέποτε ἐπέβη τῶν σκηνῶν, ἐννοείτω τὸν μέχρι νῦν ἐν τοῖς ἁπάντων στόμασιν ὄντα, ὃν μετὰ τοὺς Ἀποστόλους ἡ Αἴγυπτος ἤνεγκε, τὸν μακάριον καὶ μέγαν Ἀντώνιον· καὶ λογιζέσθω, ὅτι καὶ οὗτος ἐν ἐκείνῃ τῇ χώρᾳ γέγονεν, ἐν ᾗ καὶ Φαραώ· ἀλλ' ὅμως οὐδὲν παρεβλάβη, ἀλλὰ καὶ θείας ὄψεως κατηξιώθη· καὶ τοιοῦτον ἐπεδείξατο βίον, οἷον οἱ τοῦ Χριστοῦ νόμοι ζητοῦσι. Καὶ τοῦτο εἴσεταί τις μετὰ ἀκριβείας, ἐντυχὼν τῷ βιβλίῳ τῷ τὴν ἱστορίαν ἔχοντι τῆς ἐκείνου ζωῆς, ἐν ᾧ καὶ πολλὴν ὄψεται τὴν προφητείαν, καὶ γὰρ περὶ τῶν τὰ Ἀρείου νοσούντων . . . »

μα τοῦτο ἦν γνωστὸν οὐ μόνον τοῖς συγχρόνοις τῷ Αὐγουστίνῳ, ἀλλὰ καὶ τοῖς τῷ Ἀθανασίῳ—Σεραπίωνι τοῦ Θμούεως([1]), καὶ Γρηγορίῳ τῷ Ναζιανζηνῷ ([2]). Ἡ γνησιότης τοίνυν τοῦ συγγράμματός ἐστιν ἀναμφήριστος.

Οὐ δυνάμεθα δὲ καταλέξαι ἐν τοῖς γνησίοις καὶ πολλὰ ἄλλα συγγράμματα, κοσμούμενα τῷ ὀνόματι τοῦ ἁγίου Ἀθανασίου. Ἡ ἀπροσωπόληπτος κριτικὴ ἀπαριθμεῖ περὶ τὰ ἑβδομήκοντα συγγράμματα ἅτινα ἀναξίως καὶ ἀδίκως μάλιστα φέρουσι τὸ ὄνομα τοῦ περικλεοῦς ἱεράρχου τοῦ τετάρτου αἰῶνος ([3]). Ἐν τούτοις τακτέα:

1.] Τὸ σύμβολον τῆς πίστεως: Quicunque, τὸ τοσοῦτον ἐπίσημον παρὰ τοῖς Διαμαρτυρομένοις καὶ ἐν τῇ ρωμαϊκῇ Ἐκκλησίᾳ, γνωστὸν δὲ καὶ ἐν τῇ ρωσσικῇ Ἐκκλησίᾳ. Τὸ σύμβολον τοῦτο, κατά τε τὴν ἔκφρασιν καὶ τὸ πνεῦμα αὐτοῦ, ἐστιν ἄξιον τοῦ ὀνόματος τοῦ Ἀθανασίου, ᾧ ἐπιγράφεται, ἀλλ᾽ οὐχ

([1]) Σωκρ. ά. 21. «Ὁποῖος δὲ ἦν ἐπὶ τῶν αὐτῶν χρόνων καὶ ὁ μοναχὸς Ἀντώνιος ἐν τῇ ἐρήμῳ τῆς Αἰγύπτου, ὡς φανερὸν τοῖς δαίμοσιν ἀντεπάλαιεν, ἐφευρίσκων τε ἁπλῶς τὰς τέχνας αὐτῶν καὶ τοὺς ἄθλους, καὶ ὅπως πολλὰ ἐποίει τεράστια, περιττὸν λέγειν ἡμᾶς· ἔφθασε γὰρ Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐπίσκοπος, μονόβιβλον εἰς τὸν αὐτοῦ βίον ἐκθέμενος». Παλλάδ. Λαυσαϊκ. κεφ. 8. περὶ τοῦ Ἀμμοῦν: «Τούτου θαῦμα διηγήσατο ὁ μακάριος Ἀθανάσιος ὁ ἐπίσκοπος, γράψας εἰς τὸν περὶ Ἀντωνίου βίον, ὅτι . . . » Rufin. Hist. Eccles. P. I. c. 8. Ἡ λατινικὴ μετάφρασις, ἡ ὑπὸ τοῦ Εὐαγρίου γενομένη, φαίνεται ἐκ τῆς γλώσσης λίαν ἀρχαία οὖσα, καὶ πιθανῶς αὐτὴ ἐκείνη, ἣν ἀνέγνω ὁ Αὐγουστῖνος. Ἐξεδ. in Act. SS. ad 17 Januarii. Ἐν τῇ ἀρμενικῇ μεταφράσει συνετμήθη καὶ ἡνώθη τοῖς βίοις ἄλλων ἀναχωρητῶν. Neumann Gesch. d. Armen. Litterat. S. 76.

([2]) Γρηγόρ. ὁ Ναζιανζ. λόγ. κά. «Πάντα μέντοι τὰ ἐκείνου (τοῦ Ἀθανασίου) λέγειν τε καὶ θαυμάζειν, μακρότερον ἂν εἴη τυχόν, ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τοῦ λόγου, καὶ ἱστορίας ἔργον, οὐκ εὐφημίας· ἃ καὶ ἰδίᾳ παραδοῦναι γραφῇ παίδευμά τε καὶ ἥδυσμα τοῖς εἰς ὕστερον εὐχῆς ἔργον ἐμοὶ ὥσπερ ὃν ἐκεῖνος Ἀντωνίου τοῦ θείου βίον συνέγραψε τοῦ μοναδικοῦ βίου νομοθεσίαν ἐν πλάσματι διηγήσεως». Σεραπ. ἐπ. πρὸς μοναχοὺς ap. Maium, Specil. Roman. IV· p. LXI.—

([3]) Γνήσια συγγράμματα θεωροῦνται 50 καὶ 13 ἀμφίβολα.

ἧττον ἐγράφη οὐχὶ ὑπὸ τοῦ Ἀθανασίου καὶ δὴ οὐχὶ ἑλληνιστί· διότι α΄.] τὸ ὕφος ἐστι λατινικόν, καὶ οὐχὶ ἑλληνικόν· τὸ λατινικὸν κείμενόν ἐστιν ἕν, τὸ δ' ἑλληνικὸν πολυειδές· β΄.] ἐν αὐτῷ ἀνασκευάζονται αἱ αἱρέσεις τοῦ Νεστορίου, τοῦ Εὐτυχοῦς, καὶ τῶν Μονοθελητῶν, οὐκ ἀναγινώσκεται δὲ ἡ λέξις ὁμοούσιος, ἡ τοσοῦτον ἀναγκαία τῷ συμβόλῳ τοῦ Ἀθανασίου· γ΄.] οὐδεὶς ἐμνημόνευσεν αὐτοῦ ἐν τῇ Δύσει πρὸ τῆς ἐν Αὐγουστοδούνῳ (Autun) τῷ 663 συγκροτηθείσης Συνόδου· ἐν δὲ τῇ ἑλληνικῇ Ἐκκλησίᾳ ἤκουσαν περὶ αὐτοῦ τὸ πρῶτον κατὰ τὸ 1223 παρὰ τῶν ἀπεσταλμένων τοῦ Πάπα· δ΄.] τέλος ὁ ἅγιος Ἀθανάσιος ἐνόμιζεν, ὅτι οὐκ ἐπιτρέπεται αὐτῷ γράψαι σύμβολον ἄλλο, φοβούμενος, ὡς ἔλεγε, μὴ θεωρηθῇ ἐλλιπὲς τὸ Σύμβολον τῆς Νικαίας (1).

Ἐκ πάντων τούτων τῶν λόγων πιθανόν, ὅτι τὸ ὑποτιθέμενον Σύμβολον τοῦ Ἀθανασίου συνεγράφη ὑπὸ τοῦ ἐπισκόπου Τάψης Οὐϊγιλίου, ἀκμάσαντος κατὰ τὸν ε΄. αἰῶνα, καὶ ἐκδόντος καὶ ἕτερα οὐκ ὀλίγα συγγράμματα ὑπὸ τὸ ὄνομα τοῦ Ἀθανασίου. Εἰς τὸ Σλαβικὸν ψαλτήριον τὸ σύμβολον τοῦτο εἰσήχθη ἐκ τῆς Δύσεως (2)·

2.] Ἐν τοῖς μεταγενεστέροις Σλαβικοῖς χειρογράφοις πάνυ συνεχῶς ἀπαντῶσιν αἱ ἀποκρίσεις τοῦ Ἀθανασίου τῷ ἄρχοντι Ἀντιόχῳ (3). Ἐν δὲ τοῖς ἑλληνικοῖς χειρογράφοις ἐκτὸς τῶν ἀποκρίσεων τούτων ὁρίζονται ὑπὸ τοῦ Ἀθανασίου διὰ τὸν αὐτὸν Ἀντίοχον δύο ἕτερα συγγράμματα. Ἴσως τινὲς τῶν ἀποκρίσεων τούτων ἀνήκουσιν εἰς τὸν ἅγιον Ἀθανάσιον. Τοὐλάχιστον μία—ἡ ρλζ΄. ἀναμφιβόλως ἀνήκει εἰς τὸν τέταρτον αἰῶνα(4).

(1) Ἐπιστ. πρὸς Ἰοβιανὸν 1, 399· πρὸς Ἀντιοχεῖς 1, 448—449· πρὸς τοὺς ἐν τῇ Ἀφρικῇ τιμιωτάτους ἐπισκόπους 1, 725.—

(2) Ὁ Ἄλτερ (Ub. d. Georgian. Litterat. Vien. 1798) λέγει, ὅτι ἡ λατινικὴ μετάφρασις τούτου τοῦ συμβόλου ἀναγινώσκεται ἐν τῷ Ψαλτηρίῳ καὶ τῇ λειτουργίᾳ τῶν Γλαγολητῶν. Ἐντεῦθεν ἐπὶ τοῦ Συμεῶνος Πολοσκίου μετηνέχθη καὶ εἰς τὸ Μοσχοβιτικὸν Ψαλτήριον.

(3) Ὁ ἐκδότης τῆς «Χριστιαν. Ἀναγνώσ.» ἐδημοσίευσε ταύτας ἄνευ διασαφήσεων περὶ τοῦ συγγραφέως αὐτῶν.

(4) «Τίς οὖν ἐστιν ἕτερος χρισθεὶς Ἅγιος ἁγίων εἰμὴ ὁ Χριστὸς μόνος, ὡς τοῦ Θεοῦ τοῦ ζῶντος; Αἱ γὰρ ἑβδομήκοντα ἑβδομάδες τετρακόσια

Ἀλλ᾽ αἱ μέχρις ἡμῶν ἀφικόμεναι ἀποκρίσεις, α΄.] μαρτυροῦνται ὑπὸ τοῦ ἁγίου Ἐπιφανίου (γ΄. ἀπόκρ. καὶ ἐφεξῆς) καὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Νύσσης (ή. ἀπόκρ.)· β΄.] ἐν αὐταῖς ἀναγινώσκονται ἐκλογαὶ ἐκ τοῦ ἁγίου Κυρίλλου τοῦ Ἀλεξανδρείας, τοῦ μακ. Θεοδωρήτου, τοῦ ἁγίου Μαξίμου καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ τῆς Κλίμακος. Ἐν δὲ τῇ μδ΄. ἀποκρίσει γέγραπται, «ὅτι ἕβδομος ἤδη αἰὼν παρέρχεται», καὶ γίγνεται λόγος περὶ τῶν ἀναστατώσεων τῶν Ἀράβων καὶ τῶν ταραχῶν τῶν Νεστοριανῶν· γ΄.] ἐξ τούτων τῶν ἀποκρίσεων ἐπιγράφονται τῷ ὀνόματι Ἀθανασίου τοῦ ψιλοῦ[1]. Οὕτως ὑποθετέον, ὅτι μετὰ τὸν ἅγιον Ἀθανάσιον ἕτερος Ἀθανάσιος νεώτερος, ἀκμάσας κατὰ τὸν ζ΄. αἰῶνα, ἔπειτα δὲ καὶ ἄλλοι συνεπλήρωσαν τὴν πρώτην συλλογὴν τῶν ἀποκρίσεων. Ἐκ τούτου προῆλθεν, ὅτι ἐν τῇ νῦν συλλογῇ οὐκ ἔστιν οὐδὲ τὸ εἰκοστὸν μέρος ἐκείνου, ὅπερ ἦν ἂν δυνατὸν ἀποδοθῆναι τῷ ἁγίῳ Ἀθανασίῳ. Μέρος τῶν ἀποκρίσεων τούτων ἀνακτέον εἰς τὸν ἕβδομον αἰῶνα· διότι αἱ πρὸς τὸν Ἀντίοχον ἀποκρίσεις τοῦ Ἀθανασίου ἦσαν ἤδη γνωσταὶ τῷ ἐκ Ῥαβέννης συγγραφεῖ τοῦ ζ΄. αἰῶνος. Ἀλλ᾽ ὅτι οὐχὶ εἰς ἕνα καὶ τὸν αὐτὸν συγγραφέα ἀνήκουσιν αἱ νῦν πρὸς τὸν Ἀντίοχον ἀποκρίσεις, δεικνῦσι καὶ τὰ ἀπόγραφα, ἔνθα ὁ ἀριθμὸς αὐτῶν ἐστιν ὅλως διάφορος,—ἐν ἄλλοις μὲν εὕρηνται 33 ἀποκρίσεις, ἐν ἄλλοις δὲ 41 ἢ 44, ἔν τισιν 136 καὶ πλέον. Οὐ μὴν ἀλλὰ αἱ πρὸς τὸν Ἀντίοχον ἀποκρίσεις περιέχουσι πολλὰ ὠφέλιμα, οἷς οὐκ ἂν προσεβάλετο καὶ τὸ πνεῦμα τοῦ ἁγίου Ἀθανασίου. Τοὐναντίον τὰ δύο ἕτερα συγγράμματα διὰ τὸν Ἀντίοχον οὔτε κατὰ τὴν λέξιν, οὔτε κατὰ τὴν ὑπόθεσιν, οὔτε ἐν τῷ ὅλῳ, οὔτε ἐν τοῖς μέρεσιν, εἰσὶν ἄξια τοῦ ὀνόματος τοῦ μεγάλου τῆς Ἀλεξανδρείας ποιμένος.—

§. 118. Σεραπίων ὁ Θμούεως. Συγγράμματα αὐτοῦ.

Εἷς τῶν προθυμοτάτων συναθλητῶν τοῦ ἁγίου Ἀθανασίου ἦν ὁ

ἐνενήκοντα ἔτη σημαίνουσιν. Ἀπὸ δὲ τοῦ Δανιὴλ ἕως τοῦ νῦν ὑπάρχουσιν ἔτη τῶν ὀκτακοσίων πλείω». Τ. 4. σελ. 685, edit. Migne. Ἡ ἀπόκρισις αὕτη ἔν τισι χειρογράφοις γράφεται πάντῃ κεχωρισμένως τῶν ἄλλων.

(1) Ἰδ. Lambecii comm. Vindob. Lib. V., 238, 298. Lib. IV. cod. 163, 165. Kollsr. annot. ad Cod. 58. lib. 3. p. 254—256.—

ἅγιος Σεραπίων, ὁ Θμούεως ἐπίσκοπος. Ἐν τῇ ἀρχῇ τοῦ τετάρτου αἰῶνος ἐνεπιστεύθη αὐτῷ μία τῶν ἐκκλησιῶν τῆς Ἀλεξανδρείας, καὶ ἐπί τινα χρόνον διηύθυνε τὸ Κατηχητικὸν διδασκαλεῖον (1). Ἀρξαμένων ἐν Ἀλεξανδρείᾳ τῶν ἀρειανῶν ταραχῶν, ἀπεχώρησεν εἰς τὴν ἔρημον, ἔνθα ἐγένετο Ἡγούμενος. Ὁ ἅγιος Ἀντώνιος οὕτως ἠγάπα αὐτόν, ὥστε ἀπεκάλυπτεν αὐτῷ τὰς ὁράσεις αὐτοῦ, καὶ ἀποθνήσκων κατέλιπεν αὐτῷ τὴν μίαν τῶν μηλωτῶν αὐτοῦ (2). Ἀναβὰς ἐκ τῆς ἐρήμου ἐπὶ τοῦ θρόνου τῆς Θμούεως, ἐδοξάσθη ἐπὶ τοῦ Κωνσταντίου, καθὰ λέγει ὁ Ἱερώνυμος, ὡς Ὁμολογητής (3). Ἦν εἷς τῶν παραγενομένων τῇ ἐν Σαρδικῇ Συνόδῳ (τῷ 347), ἔνθα μετὰ σταθερότητος ὑπερήσπισε τὴν ἀλήθειαν τοῦ Χριστοῦ καὶ τὸν ταύτης ὑπέρμαχον ἅγιον Ἀθανάσιον (4), μετὰ δὲ ταῦτα ἀπεστάλη τῷ 355 πρὸς τὸν Κωνστάντιον παρὰ τῶν Αἰγυπτίων ἐπισκόπων μεσιτεύσων ὑπὲρ τοῦ ἁγίου Ἀθανασίου, ἐφ᾿ ᾧ κατεδικάσθη εἰς ἐξορίαν (5). Ὅτε δέ τινὲς τῶν Ἀρειανῶν ἤρξαντο ἀρνεῖσθαι φανερῶς τὴν Θεότητα τοῦ ἁγίου Πνεύματος, παρεκάλεσε τὸν ἅγιον Ἀθανάσιον συγγράψαι ἔλεγχον ταύτης τῆς αἱρέσεως. Πρὸς αὐτὸν ἔγραψεν ὁ Ἀθανάσιος (τῷ 358) περὶ τοῦ φοβεροῦ θανάτου τοῦ Ἀρείου. «Ὁ τῆς Θμουϊτῶν Ἐκκλησίας ἄγγελος, ἀνὴρ εἰς τὰ μάλιστα τὸν βίον θεσπέσιος, καὶ λέγειν δεινός» (6) ἐπέζησε τοῖς μεγάλοις Πατράσιν, Ἀντωνίῳ, Ἀμμοῦν, καὶ Μακαρίῳ, περὶ ὧν ὁμιλεῖ ἔν τινι ἐπιστολῇ, καὶ ἑπομένως ἐξεδήμησε πρὸς Κύριον περὶ τὸ τξς΄. (7). Ἀποκαλῶν ὁ μακάριος Ἱερώνυμος τὸν ἅγιον Σεραπίωνα

(1) Ὁ ἅγιος Ἐπιφάνιος λόγον ποιούμενος περὶ τοῦ χρόνου, τοῦ προηγησαμένου τῶν ταραχῶν τοῦ Ἀρείου γράφει: «Διονυσίου καλουμένη ἐκκλησία καὶ τοῦ Θεωνᾶ καὶ ἡ Πιερίου καὶ Σεραπίωνος» (αἵρ. ξθ΄. 2). Κατὰ Φίλιππον τὸν Σιδήτην ὁ ἅγ. Σεραπίων προέστη τοῦ διδασκαλείου μετὰ τὸν Θεόγνωστον καὶ πρὸ τοῦ ἁγ. Πέτρου.—

(2) Ἀθαν. ἐν 6. Ἀντων. §. 82, 91. Ἐπιστ. πρὸς Δρακόντιον, Μαθητὴς τοῦ ἁγίου Ἀθανασίου καλεῖται ἐν τοῖς κοπτικ. χειρογρ. (Maii Specil. Rom. T. 9. p. 744.)—

(3) «Sub. Constantio principe etiam in confessione inclytus fuit». in Catal., cap. XCIX.

(4) Concilior. T. II. p. 679.

(5) Σωζόμ. ἐκκλ. ἱστορ. δ΄. 9.

(6) Σωκρ. δ΄. 23. Σωζόμ. δ΄. 9.

(7) Ἐπιστ. πρὸς Μοναχοὺς §. 13. Ὁ Μάϊος δικαίως σημειοῖ, ὅτι ὁ μνημονευόμενος παρὰ τῷ Σεραπίωνι με-

Σχολαστικὸν (δηλ. ἔξοχον τὴν παιδείαν), καταλέγει αὐτὸν ἐν τοῖς διδασκάλοις τῆς Ἐκκλησίας, παρ᾽ οἷς, ὡς λέγει, οὐκ οἴδαμεν τί μᾶλλον θαυμάσαι, τὴν πολυμάθειαν τοῦ αἰῶνος, ἢ τὴν γνῶσιν τῶν Γραφῶν ([1]).—

Ἐν τῷ συγγράμματι κατὰ Μανιχαίων, οὗ μετ᾽ ἐπαίνων ἐποιήσαντο μνείαν οἱ ἀρχαῖοι([2]), ὁ ἀρχαῖος διδάσκαλος εἰπών, ὅτι πολυειδεῖς καὶ πολυσχιδεῖς εἰσιν αἱ πλάναι, ἀλλ᾽ ἡ δεινοτάτη πασῶν ὁ μανιχαϊσμὸς (§. 1—4), ἀποδείκνυσιν ἐκ τῶν λόγων τῆς Γραφῆς καὶ διὰ συλλογισμῶν, ὅτι ἡ οὐσία τῆς ψυχῆς καὶ τοῦ σώματος καθ᾽ ἑαυτὴν οὐκ ἔστι κακή (§. 5—8.), ὅτι τὸ σῶμα ὑπακούει ταῖς κινήσεσι τῆς ψυχῆς (§. 9—10), καὶ ἐν τοῖς ἁγίοις ποιεῖ θαύματα (§. 11), καὶ ὅτι αὐτοὶ οἱ Ἀπόστολοι πρὸ τῆς ἐπιστροφῆς αὐτῶν ἦσαν ἁμαρτωλοὶ (§. 12—15), ἡ δὲ φύσις ἡμῶν μένει ἡ αὐτὴ καὶ πρὸ τῆς ἐπιστροφῆς καὶ μετὰ ταύτην, μεταβάλλεται δὲ μόνη ἡ βούλησις (§. 16—27) ([3]).

τὰ τοῦ Ἀντωνίου καὶ Ἀμμοῦν Μακάριός ἐστιν ὁ πρεσβύτερος τῶν τριῶν Μακαρίων: « Macarium intelligo antiquiorem e tribus hoc nomine claris» (Spicil. Roman T. 4. p. LXIV—LXV.). Ὅτι κατὰ τὸ ἔτος τοῦτο ἐκοιμήθη ὁ Σεραπίων δείκνυσι καὶ τοῦτο, ὅτι ἐν τῇ αὐτῇ ἐπιστολῇ ποιεῖται μνείαν τοῦ βίου τοῦ Ἀντωνίου, τοῦ ὑπὸ τοῦ Ἀθανασίου συγγραφέντος τῷ τξέ. Ἡ μνήμη αὐτοῦ τελεῖται ἔκπαλαι ἐν τῇ ρωμ. Ἐκκλησίᾳ τῇ κά. Μαρτίου.—

([1]) De vir. illustr. c. 99. «Serapion Thmueos episcopus ob elegantiam ingenii cognomen Scholastici meruit» Epist. 70 (κατ᾽ ἄλλους 84) ad Magnum Orat., «qui philosophorum doctrinis atque sententiis in tantum suos resarciunt libros, ut nescias quid in illis primum admirari debeas, eruditionem sæculi, an scientiam Scripturarum».

([2]) Hieron. de vir. illustr. c. XCIX: «Serapion Thmueos . . . edidet adversum Manichæum egrogium librum». Ἐπιφάν. αἵρ. 66. §. 21. Φωτ. βιβλ. ἀνάγν. 85. σελ. 204.—

([3]) Τὸ σύγγραμμα τοῦτο τοῦ ἁγίου Σεραπίωνος ἐξεδόθη ὑπὸ Βασναγίου T. I. ad Thes. Canis, pag. 37· in M. Bibl. Patr. Lugduni T. 4. p. 164. Ἡ ἀρίστη τῶν ἐκδόσεών ἐστιν ἡ τοῦ Γαλλανδίου ἐν τῷ Ε΄. τόμῳ τῆς Βιβλιοθήκης αὐτοῦ καὶ ἡ τοῦ Migne T. 40. p. 900-924).—

Ἐκ τῶν πολλῶν ἐπιστολῶν τοῦ Σεραπίωνός(¹) εἰσι νῦν γνωσταὶ δύο ἐπιστολαί [α]. Ἡ πρὸς τὸν Εὐδόξιον [β] ἐπιστολὴ ἐγράφη, ὡς δῆλον ἐξ αὐτῆς τῆς ὑποθέσεως, ἐν τῷ καιρῷ τῆς ἐξορίας τοῦ Σεραπίωνος, καί ἐστι πλήρης εὐσεβείας.

«Μὴ ἀθύμει πάσχων, ἔγραφεν ὁ ἱεράρχης, ἀλλ' εὐθύμει πιστεύων· καὶ μὴ κατάπιπτε νοσῶν, ἀλλ' εὐτόνει μὴ ἁμαρτάνων· καὶ μὴ νόμιζε χαλεπὴν τὴν νόσον, μόνη γὰρ χαλεπὴ ἡ ἁμαρτία. Τὸ μὲν γὰρ ἀσθενῆσαι κοινὸν καὶ καλῶν καὶ κακῶν ἀνδρῶν, τὸ δὲ ἁμαρτῆσαι ἴδιον τῶν φαύλων ὁρῶμεν· καὶ ὁ μὲν νοσῶν ἅμα τῷ θανάτῳ καὶ τὴν νόσον συναποθνήσκουσαν ἔχει, ὁ δὲ ἁμαρτήσας καὶ μετὰ τὸ μνῆμα εὑρήσει ἐκεῖ τὴν ἁμαρτίαν· μέχρι γε τοῦ μνήματος ἵσταται ἡ νόσος, μετὰ δὲ τὸ μνῆμα ἐπιβῆναι τῷ τεθνηκότι οὐ δύναται· ἡ δὲ ἁμαρτία τοῖς μὲν ζῶσιν ἐμφωλεύει καὶ ἐγκρύπτει, ἐν δὲ τοῖς τεθνηκόσι πλέον ἐξάπτεται, καὶ τὴν ἑαυτῆς φλόγα ἐνδείκνυται, καὶ τὸν ἁμαρτήσαντα τιμωρεῖται. Ταῦτά σοι γεγράφηκα, ποθεινότατε ἀδελφέ, ἵνα μὴ πάνυ ἀθυμῇς, ἐν Χριστῷ σεαυτὸν διατηρῶν· τοῦ βίου τὰς συγχύσεις φέρειν δεῖ, καὶ τοὺς θορύβους βαστάζειν προσήκει, καὶ πρὸς τὸ τέλος βλέπειν, καὶ εἰδέναι, ὅτι ὁ Θεὸς ἐπιστατεῖ, καὶ ὀλίγον ἐπανείς, πάλιν ἡγεμονεύει· καὶ ὀλίγον συγχωρῶν, πάλιν προΐσταται, καὶ οὐδέποτε ἡ Ἐκκλησία καταλιμπάνεται· οὐδὲ γὰρ πύλαι ᾅδου κατισχύσουσιν αὐτῆς. Τῆς σῆς οὖν ἀρετῆς τὴν διάθεσιν δείκνυε τῷ παντεπόπτῃ Θεῷ, ἵνα δυνηθῇς ἐν πᾶσιν εὐδο-

(¹) Κατὰ τὸν Ἱερώνυμον ὁ Σαραπίων ἔγραψεν ἐκτὸς τοῦ κατὰ Μανιχαίων συγγράμματος καὶ πραγματείαν περὶ τῶν ἐπιγραφῶν τῶν ψαλμῶν καὶ πρὸς διαφόρους ὠφελίμους ἐπιστολὰς (edidit et de Psalmorum titulis alium librum et ad diversos utiles epistolas, de vir. illustrib. C. XCIX).

[α] Ὁ κλεινὸς Καρδινάλιος Μάϊος ἀνήγγειλεν ἐν τῷ ἕκτῳ τόμῳ τῆς νέας βιβλιοθήκης, ὅτι δημοσιεύσει λόγον τοῦ ἁγίου Σεραπίωνος περὶ τοῦ ἁγίου Μακαρίου, ἀλλ' οὔπω ἐφάνη ὁ λόγος οὗτος. Σ. Μ.

[β] Ὁ σοφὸς ἐκδότης οὐκ ἐβεβαίωσεν, εἰ ὁ Εὐδόξιος, περὶ οὗ πρόκειται ἐνταῦθα, ἐστὶν αὐτὸς ἐκεῖνος, ὃς κατέσχεν ἐκ διαδοχῆς τοὺς θρόνους τῆς Γερμανικείας καὶ Ἀντιοχείας, καὶ κατόπιν ἐγένετο Πατριάρχης Κωνσταντινουπόλεως. Οὗτος ἦν ἐπί τινα χρόνον ὀπαδὸς τῆς ἀρειανῆς αἱρέσεως. Σ. Μ.

κιμεῖν· ἡμεῖς δὲ καλέσαι σε οὐκ ἂν ἐπασχόμεθα, ἵνα μὴ δόξωμεν τῆς πόλεως ἀφιστᾷν» (¹).

Ἡ ἑτέρα ἐπιστολὴ τοῦ Σεραπίωνος περιέχει ζωηρὰν καὶ περιπαθῆ περιγραφὴν τῶν ὑψηλῶν πλεονεκτημάτων τοῦ μοναχικοῦ βίου, καὶ τῶν μειονεκτημάτων τοῦ κοσμικοῦ (²) [*]. Ἀποτεινόμενος

(¹) Ἡ ἐπιστολὴ αὕτη πρὸ ὀλίγου ἐξεδόθη ὑπὸ τοῦ Μαΐου: Classici Auctores, T. 5. p. 364—366. Migne Patrol. T. 40. p. 924—926 μετὰ λατινικῆς μεταφράσεως.

(²) Ἐξεδ. ὑπὸ τοῦ Μαΐου: Specil. Roman., T. IV. p. LXIV—LXV.

[*] Ἀξιάγαστά εἰσι τὰ ὑπ' αὐτοῦ λεγόμενα ἐν τῷ τρίτῳ κεφαλαίῳ. «Θεός, λέγει, ὑμᾶς ἐξελέξατο ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων· ὑμεῖς ἐστε φῶς τοῦ κόσμου, ὁ Σωτὴρ εἴρηκε· καὶ ὧν ὁ ζῆλος ὁ αὐτός, καὶ τὸ ἔργον τὸ αὐτό, καὶ ὁ ἔπαινος ὁ αὐτός, καὶ ὁ μισθὸς ὁ αὐτός· μακάριοι τοίνυν ἐστε καὶ τρισμακάριοι, ὦ τιμιώτατοι Θεῷ μονάζοντες· τίς ὑμῶν ἐπαξίως ἐπαινέσειε τὴν διαγωγήν; ἔργα γὰρ ὑμῖν ἡμέρας καὶ νυκτὸς ψαλμοὶ καὶ ὕμνοι καὶ ᾠδαὶ πνευματικαί, καὶ πράξεις Θεῷ πρέπουσαι· ἀγάπη γὰρ ὑμῖν πολιτεύεται, τὸ τῶν ἀγγέλων χρῆμα· εἰρήνη παρ' ὑμῖν ἐστήρικται, τῶν οὐρανῶν περίβολος· ἀφιλάργυρος ὑμῖν ὁ τρόπος, ἀεὶ τῇ χρείᾳ φιλούμενοι, ἐν νηστείαις εὔτονοι, ἐν εὐχαῖς εὐτονώτεροι, ἐν ἀγρυπνίαις ὑμῖν τὸ καθ' ἡμέραν τῇ ἐγρηγορήσει διανύεται· Λαμψάτω τὸ φῶς ὑμῶν, εἶπεν ὁ Κύριος· καὶ ὃ εἴρηκε, φαίνεται· μὴ ἀγαπητὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ τούτῳ ὑμεῖς τετηρήκατε· μακάριοι τοίνυν ὑμεῖς τῷ Θεῷ, μακάριος δὲ καὶ ὁ κόσμος δι' ὑμᾶς· αἱ ἐρημίαι σεμνύνονται δι' ὑμᾶς, καὶ ἡ οἰκουμένη σώζεται ταῖς ἡμετέραις προσευχαῖς· ὑετὸς τῇ γῇ καταπέμπεται ταῖς ὑμετέραις ἱκεσίαις, ἡ γῆ χλοηφορεῖ, καὶ δένδρα καρποῖς βριθόμενα ἀβλαβῆ τὸν καρπὸν ἀποδίδωσι· ποταμὸς δὲ ἐτησίως αὐξανόμενος καὶ ὅλην τὴν Αἴγυπτον ἀρδεύων, λίμναις τε φιλιούμενος καὶ θαλάτταις πολὺ πλῆθος μεταδιδούς, τῶν ἡμετέρων ἱκεσιῶν γνωρίζει τὴν δύναμιν. . . . » Οὐχ ἧττον ἀξιάγαστά εἰσι τὰ ἐν τῷ ή. κεφ. « . . . Ὢ πόσης τιμῆς ὑπεροχὴν ἔχει τὸ ἅγιον καὶ ἱερὸν σχῆμα! Ὢ πόσης εὐωδίας πνευματικῆς πνέει! Ὢ πηλίκου τοῦ ἐπαγγέλματος ἐψηφίσασθε! λόγος οὐδεὶς ἀνυμνῆσαι δύναται! Ὢ ἐπάγγελμα οὐρανοῦ ἀπτόμενον! Ὢ ἐπάγγελμα Θεῷ συναπτόμενον! Ὢ ἐπάγγελμα ἀγγέλοις ἐξεικονιζόμενον! Ὢ ἐπάγγελμα τὸ κατ' εἰκόνα Θεοῦ σῶζον! Ὢ ἐπάγγελμα Θεῷ παρεστηκός! Ὢ ἐπάγγελμα Θεῷ τιμιώτατον! Ὢ ἐπάγγελμα δι' οὗ σώζεται ὁ κόσμος! . . . ἕκαστος γὰρ ὑμῶν, ὦ ἀξιοπόθητοι Θεῷ μονάζοντες, κῆπός ἐστε

πρὸς τοὺς ἐν Αἰγύπτῳ μοναχούς, λέγει: « Ἐξ ὑμῶν Ἀββᾶ Ἀντώνιος δι' ἀκρότατον βίον γενόμενος, οὗ καὶ ὁ βίος ἔγγραπτος παρ' ὑμῖν διασώζεται ἔτι τε καὶ ὁ Ἀββᾶ Ἀμμοῦν, καὶ ὁ Ἀββᾶ Ἰωάννης, καὶ Ἀββᾶ Μακάριος, οἳ καθ' ὑπερβολὴν ἐναρέτως διέλαμψαν οἳ καὶ σημεῖα καὶ ἑτέρας δυνάμεις τοῖς ἀνθρώποις ἐπεδείξαντο, κατὰ βούλησιν Θεοῦ δαιμόνια ἀπελάσαντες, καὶ μεγάλας νοσημάτων ἀλγηδόνας ἰασάμενοι, καὶ ἕτερα τινα πάθη, τῶν ἰατρῶν ἔδειξαν τὴν ἀσθένειαν. Ἃ γὰρ οὐκ ἠδύναντο πάθη οἱ ἰατροὶ θεραπεῦσαι, ταῦτα ταῖς τούτων ἁγίαις εὐχαῖς καὶ ἰσχυρᾷ πίστει παρεχώρουν, τοῦ ἴασθαι τὸν οἰκεῖον τρόπον ἐπιγινώσκοντες τοὺς ὅρους· ταῦτα βασιλεῖς ἀκούοντες, λίαν ἐθαυμάζοντο Θεὸν ὑμνοῦντες. Ταῦτα μᾶλλον ἴστε ὑμῶν ἀκριβῶς· ὑμεῖς γὰρ αὐτοῖς καὶ συνδιετρίψατε καὶ οἱ Πατέρες ὑμῶν ».

Ἔν τινι συγγράμματι τοῦ Σεραπίωνος ἀνέγνω ὁ Εὐάγριος τοὺς ἑπομένους ὡραίους λόγους τοῦ Θείου τούτου Πατρός: « Ὁ νοῦς μὲν πεποκὼς πνευματικὴν γνῶσιν τελείως καθαίρεται· ἀγάπη δὲ τὰ φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει· πονηρὰς δὲ ἐπιθυμίας ἐπιρρεούσας ἵστησιν ἐγκράτεια ».

Ἐν τῇ σλαβικῇ μεταφράσει ἐμφέρεται βίος τοῦ ἁγίου Ἀντωνίου, συγγραφεὶς «ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ Σεραπίωνος». Ἐν δὲ τῇ κοπτικῇ γλώσσῃ ὑπάρχει βίος τοῦ ἁγίου Μακαρίου, συγγραφεὶς ὑπὸ τοῦ Σεραπίωνος (1).

§. 119. Ὁ ἅγιος Ἱλάριος ὁ Πικτώνων Ἐπίσκοπος. Βίος αὐτοῦ.

Ἱλάριος ὁ Πικτώνων ἐπίσκοπος (Pictaviensis,) ἐν Ἀκυϊτανίᾳ τῆς

Χριστοῦ παντοδαπῶν δένδρων εἴδη περιέχων, ταῖς τοῦ νόμου φυλακαῖς καὶ ἐντολαῖς γεωργούμενος· οὐκ ἐστὲ δρυμὸς ξύλων, ἵνα ἄγρια θηρία ἐν ὑμῖν ἐνοικήσῃ, τῶν ἐναντίων δυνάμεων τὸ αἱμοβόρον σύστημα· ἀλλὰ γὰρ κῆπος κεκλεισμένος λίθοις τιμίοις τὴν ἐκ τοῦ νόμου φυλακὴν καὶ ἀσφάλειαν· διὸ οὐκ ἐγένεσθε ζωγρήματα τοῦ διαβόλου, ἀλλ' ἐσαγηνεύθητε τῇ σαγήνῃ τοῦ Χριστοῦ ἐκ τῆς ἁλμυρᾶς τοῦ κόσμου ἀκαταστασίας». Ἅπασα καθόλου ἡ ἐπιστολή ἐστιν ἀξιοθαύμαστος, καὶ ἀληθὲς ἔργον ἀνδρὸς φέροντος ἐν ἑαυτῷ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Σ. Μ.

(1) Spicil. Roman. T. IX. p. 144.

Γαλλίας, ὡρμᾶτο ἐξ εὐγενοῦς οἴκου, καὶ τὴν νεότητα αὐτοῦ ἀφιέρωσε τῇ σπουδῇ τῶν γραμμάτων ([1]). Ἐθνικὸς ὤν, ὡς αὐτὸς λέγει, ἐσπούδαζε τηρεῖν καθαρὰν τὴν συνείδησιν αὐτοῦ καὶ ζῆν συνῳδὰ τῇ ὑψηλῇ ἐλευθερίᾳ τοῦ πνεύματος. Ἐκζητῶν δὲ τὸν Δημιουργὸν αὐτοῦ, εἶδε τὴν ἀσχημοσύνην τοῦ ἐθνισμοῦ· τυχαίως δὲ ἀρξαμένῳ ἀναγινώσκειν τὰ βιβλία τοῦ Μωϋσέως, οἱ λόγοι: «ἐγώ εἰμι ὁ Ὤν» ἔδειξαν αὐτῷ τὸν ἀληθῆ Θεόν· ἡ ἀνάγνωσις τῶν προφητῶν ἐστήριξεν αὐτὸν ἐν ταύτῃ τῇ γνώσει, ἡ δὲ ἀνάγνωσις τοῦ Εὐαγγελίου τοῦ Ἰωάννου ὕψωσε τὸ πνεῦμα αὐτοῦ, καὶ διὰ παντὸς ὑπέταξεν αὐτὸ τῇ διδασκαλίᾳ τοῦ Κυρίου Ἰησοῦ ([2]). Εἶτα δὲ τέλεον ἀνεγεννήθη κατὰ πνεῦμα διὰ τοῦ ἱεροῦ βαπτίσματος, καὶ σὺν αὐτῷ ἐβαπτίσθησαν ἥτε σύζυγος αὐτοῦ καὶ ἡ θυγάτηρ αὐτῶν Ἄπρα ἢ Ἄβρα ([3]).

Τῷ 353 κοινῇ ψήφῳ τοῦ λαοῦ καὶ παρὰ τὴν αὐτοῦ θέλησιν ἐξελέγη ἐπίσκοπος Πικτώνων. Ὅτε τῷ 355 ὁ Αὐτοκράτωρ Κωνστάντιος ἐστέρησε τοὺς πατέρας τῆς ἐν Μεδιολάνοις συνόδου τῶν θρόνων αὐτῶν, ἅτε μὴ συμφωνησάντων τῇ καταδίκῃ τοῦ προμάχου τῆς Ὀρθοδοξίας—τοῦ ἁγίου Ἀθανασίου, καὶ ἀρνησαμένων ἐπικυρῶσαι τὴν ἀρειανὴν ὁμολογίαν ([4]), ὁ ἅγιος Ἱλάριος ἔγραψεν ἐν τῇ ἐξαιρέτῳ αὐτοῦ ἐπιστολῇ πρὸς τὸν Αὐτοκράτορα: «Παρακαλοῦμεν οὐ λόγοις μόνον, ἀλλὰ καὶ δακρύοις, ἵνα μὴ αἱ ὀρθόδοξοι ἐκκλησίαι καταδιώκωνται οὕτω σκληρῶς . . . Δύνασαι ἰδεῖν, ἅτε δὴ σοφὸς ὤν, ὅτι οὐ πρέπον οὐδὲ δέον βιαίοις μέτροις δουλοῦν τοὺς πιστοὺς ἐκείνους, οἵτινες οὐ παύονται διασκεδαννύντες τὰ σπέρματα τῆς ψευδοῦς διδασκαλίας . . . Εἰ δὲ καὶ ὑπὲρ τῆς ἀληθοῦς πίστεως ἐγίγνετο χρῆσις βίας παρομοίας τῇ νῦν, οἱ ἐπίσκοποι, ἑπόμενοι τῇ εὐαγγελικῇ διδασκαλίᾳ, ἀνθίσταντο ἂν καὶ εἶπον: ὁ Θεός ἐστιν ὁ Δεσπότης τοῦ σύμπαντος, οὐκ ἀπαιτεῖ ἀκούσιον ἑαυτῷ ὑποταγήν. Ἀπαρέσκει αὐτῷ ἡ βεβιασμένη ὁμολογία». Καὶ περαιτέρω ἱκέτευσεν ὑπὲρ τοῦ ἁγίου Ἀθα-

([1]) Hieron. de vir. illustr. 100. Præfat. lib. II. Comment. in Epist. ad Galatas.— Venantius Fortunatus, lib. VIII, carm. 6, et Vita Hilarii, num. 16.

([2]) Hilarii lib. I. de Trinitate, num. 1—10.

([3]) Fortun. lib. I. de vita Hilarii, num. 5.

([4]) Ἴδ. περὶ Ἀθανασίου.

νασίου ([1]). Τοῦτο ἤδη ἤρκει, ὅπως ὁπλίσῃ τοὺς Ἀρειανοὺς κατὰ τοῦ ἁγίου Ἱλαρίου· ἀλλὰ τῷ 356 κατὰ τὴν ἐν Βιτέρραις (Beziers) γενομένην σύνοδον ἠγέρθη μετὰ σταθερότητος κατὰ τῶν φανερῶν Ἀρειανῶν, ἰδίως δὲ κατὰ τοῦ Ἀρελάτης ἐπισκόπου Σατουρνίνου. Μαθὼν τοῦτο ὁ Αὐτοκράτωρ, διέταξε τὸν τότε διοικοῦντα τὴν Γαλλίαν Ἰουλιανὸν ἐξορίσαι τὸν Ἱλάριον καὶ Ροδανὸν τὸν Τολώσσης (Toulouse) ἐπίσκοπον εἰς Φρυγίαν ([2]). Ὁ ἅγιος Ἱλάριος ὑπήκουσε τῷ διατάγματι, ἀλλὰ τὸ ποίμνιον αὐτοῦ οὐκ ἐδέξατο ἕτερον ποιμένα, καὶ ὁ πρόμαχος τῆς ὀρθοδοξίας ἦν διοικῶν αὐτὸ διὰ τῶν πρεσβυτέρων. Περὶ τὰ τέσσαρα ἔτη διέμεινεν ἐν Φρυγίᾳ, καὶ τούτῳ τῷ χρόνῳ ἐχρήσατο ὑπὲρ τῆς ὀρθοδοξίας. Τότε συνέγραψε τὰ δώδεκα βιβλία περὶ τῆς ἁγίας Τριάδος (de Trinitate libri XII.)([3])· Εὐθὺς δὲ μετὰ ταύτην τὴν συγγραφὴν ἀποκρινόμενος εἰς τὴν ἐρώτησιν [α] τῶν ἐπισκόπων τῆς Γαλλίας, ἔγραψε τὸ βιβλίον περὶ τῶν Συνόδων κατὰ Ἀρειανῶν (de Synodis adversus Arianos liber) ἢ περὶ τῆς πίστεως τῶν Ἀνατολικῶν (de fide Orientalium)([4]). Εὑρισκόμενος δὲ ἐν τῇ ἐξορίᾳ, ἐπ' ἴσης ἔγραψεν ἐν ἐπιστολῇ τρυφερὰν παραίνεσιν πρὸς τὴν θυγατέρα αὐτοῦ Ἄβραν φυλάσσειν τὴν καρδίαν αὐτῆς τῷ νυμφίῳ Χριστῷ, καὶ ἡ εὐπειθὴς θυγάτηρ ἐξεπλήρωσε τὴν θέλησιν τοῦ ἀγαπητοῦ πατρός([5]). Τῷ 359 ἀπέστειλεν ὁ Ἔπαρχος αὐτὸν εἰς

([1]) Lib. I. ad Constantium.

([2]) Sulpicius Severus, lib. II. Histor., num. 35. p. 438. Hilar. lib. de Synodis, n. 3. p. 1152. Contr. Constant. n. 2. p. 1238. num. 12. p. 1239. lib. II. ad Constant. num. 2. p. 1226.

([3]) Lib. X. c. 4. «Loquemur exsules per hos libros et sermo Dei, qui vinciri non potest, liber excurret».—Hieron. de vir. illustr. c. 100. «Hilarius . . . de Synodo Byterrensi Phrigiam relegatus, duodocim libros adversus Arianos confecit.» Πρβ. Rufin. H. E. l. X' c. 31.—

[α] Οἱ ἐπίσκοποι τῆς Γαλλίας παρεκάλεσαν αὐτὸν ἀγγεῖλαι αὐτοῖς, οἷος ἦν ὁ σκοπὸς τῶν Ἀνατολικῶν ἐν τῇ πληθύϊ τῶν οὕτω διαφόρων ὁμολογιῶν τῆς πίστεως, ἃς ἐποιοῦντο, καὶ τίνα δοξασίαν αὐτὸς εἶχε περὶ τούτου. Σ. Μ.

([4]) S. Hilar. de Synod, c. 8, 8, 27.

([5]) Fortun. in Vit. S. Hillarii l. I. c. 3, 6, 13.—

τὴν ἐν Σελευκείᾳ συγκροτηθεῖσαν σύνοδον· ἐνταῦθα ὑπερήσπισε τοὺς Δυτικοὺς ἐπισκόπους κατηγορουμένους ἐπὶ σαβελλιανισμῷ, καὶ ἐδημοσίευσε τὸ περὶ τῆς ἁγίας Τριάδος σύγγραμμα αὐτοῦ· οἱ ἡμιαρειανοὶ οὐκ ἤθελον δέξασθαι τὴν ὁμολογίαν τῆς ἐν Νικαίᾳ Συνόδου, καὶ ὁ ἅγιος Ἱλάριος ἀπῆλθεν εἰς Κωνσταντινούπολιν, ἔνθα τῷ 360 συνεκροτήθη Σύνοδος ἐξ Ἀρειανῶν. Ἐνταῦθα περιέγραψε τὰς πράξεις τῶν Ἀρειανῶν κατὰ τὰς ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ συνόδους, ἐπιτρέπων ἑκάστῳ κρῖναι οἷοί τινες ἦσαν οἱ Ἀρειανοί (¹). Ἐπέδωκε τῷ Αὐτοκράτορι καὶ δευτέραν ἐπιστολήν, ἐν ᾗ προτείνων, ἵνα συνδιαλεχθῇ τοῖς Ἀρειανοῖς ἐπισκόποις, ἐδείκνυε μέχρι τίνων ἀτόπων παραλογισμῶν πρός τε ἑαυτοὺς καὶ πρὸς τὸ ἅγιον Εὐαγγέλιον προήκουσιν οἱ πρόμαχοι τοῦ Ἀρείου: «Καὶ ἐγένετο, λέγει, ἡ πίστις τῶν καιρῶν μᾶλλον, ἢ τῶν Εὐαγγελίων . . . ἐπικίνδυνον ἡμῖν λίαν καὶ δὴ καὶ οἰκτρὸν τοσαύτας εἶναι πίστεις, ὅσαι θελήσεις, καὶ τοσαύτας βλασφημιῶν αἰτίας ἀναβλαστάνειν, ὅσαι κακίαι εἰσίν . . . Ὅτε ἐρίζουσι περὶ τῶν λέξεων, ἐρωτῶσιν, εἴ ἐστι νεώτερόν τι. . . μέμφονται τοὺς συγγραφεῖς, ἀγωνίζονται περὶ τῶν ἐπιστημῶν, ἐν οὐδενὸς λόγῳ ποιοῦνται τὴν ὁμόνοιαν, ἀναθεματίζουσιν ἀλλήλους . . . Κατ' ἐνιαυτόν, κατὰ μῆνα ὁρίζομεν περὶ Θεοῦ πίστεις, μεταμέλει ἡμῖν περὶ τῶν ὁρισθέντων, καὶ ἀναθεματίζομεν ἐκεῖνο, ὅπερ ὑπερησπίσαμεν . . .»(²). Οἱ Ἀρειανοὶ εἶδον, ὅτι ἦν αὐτοῖς συμφερώτερον ὑπάρχειν τὸν Ἱλάριον ἐν τῇ Δύσει, ἢ ἐν τῇ Ἀνατολῇ καὶ παρὰ τὴν αὐλήν. Διὸ ἐπετράπη αὐτῷ ἀπελθεῖν εἰς Γαλλίαν, ἔνθα ἀφίκετο, κατὰ τὸν ἅγιον Ἱερώνυμον, ὡς μαχητής, θριαμβεύσας ἐν τῷ ἀγῶνι (³).—

Κατὰ τὴν εἰς Γαλλίαν ὁδοιπορίαν ὑπεστήριξε τὴν ὀρθοδοξίαν ἐν Ἰλλυρίᾳ καὶ Ἰταλίᾳ. Ἐν τούτοις ὁ Κωνστάντιος ἀπέθανεν. Ἐπανελθὼν εἰς Γαλλίαν ὁ Ἱλάριος εὐθὺς συνεκάλεσε σύνοδον ὑπὲρ τῆς ὀρθοδοξίας· καὶ ταύτῃ τῇ συνόδῳ ἠκολούθησαν καὶ ἄλλαι διὰ τὸν αὐτὸν λόγον· καθ-

(¹) Hieronym. de vir. illustr. c. 100.—

(²) Ad Constantium Augustum liber secundus, pag. 566—7. ed. Migne.—

(³) Advers. Luciferian. pag. 301, Tom. IV. Sulpicius Severus, lib. II. c. 45. Fortun. c. 8.

ηρέθησαν οἱ ἀρειανίζοντες ἐπίσκοποι, ἐκαθαρίσθη ἡ πίστις, ἐπανῆλθεν ἡ τάξις, καὶ ἐβεβαιώθη ἡ κοινὴ ἡσυχία. Ὁ ἱστορικὸς Σουλπίκιος Σευῆρος λέγει, ὅτι μόνῳ τῷ Ἱλαρίῳ ὤφειλεν ἡ Γαλλία τὴν εὐτυχίαν, ὅτι ἡ αἵρεσις τοῦ Ἀρείου ἐξεδιώχθη αὐτῆς [1]. Κατὰ τὸν χρόνον τοῦτον ἔγραψε τὸ σύγγραμμα Contra Constantium Augustum (κατὰ Κωνσταντίου Αὐγούστου), ὃς ἐγένετο παραίτιος τοσούτων δεινῶν τῇ τε Ἐκκλησίᾳ καὶ τῇ Αὐτοκρατορίᾳ [2].

Ὅτε κατὰ τὸ ἔαρ τοῦ 364 ὁ Αὐτοκράτωρ Οὐαλεντινιανὸς ἀφίκετο εἰς Μεδιόλανα, τότε ὁ ἅγιος Ἱλάριος μετέβη εἰς Ἰταλίαν, ἵνα ἀπαλλάξῃ αὐτὴν τοῦ πονηροῦ Ἀρειανοῦ, τοῦ ἐπισκόπου τῶν Μεδιολάνων Αὐξεντίου. Οὗτος ἐσπούδασε παντὶ σθένει κρύψαι τὴν ἑαυτοῦ δοξασίαν, ἀλλ' ἠναγκάσθη ὑπὸ τοῦ Ἱλαρίου, ἵνα ἐν λόγοις ὁμολογήσῃ τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρί. Τοῦτο ὅμως ἦν ἁπλοῦς μόνον λόγος. Ὁ ἅγιος Ἱλάριος οὐκ ἠπατήθη, οὐδ' ἤθελεν, ἵνα ὁ Αὐτοκράτωρ ᾖ ἐν ἀπάτῃ· ἀλλ' ὁ Αὐτοκράτωρ ἔμεινε πιστὸς ἐν τοῖς περὶ Αὐξεντίου φρονήμασιν αὐτοῦ· ὁ ἅγιος Ἱλάριος ἠναγκάσθη μὲν καταλιπεῖν τὰ Μεδιόλανα, ἀλλ' ἐν τῷ κατὰ Αὐξεντίου βιβλίῳ ἐξεικόνισεν αὐτὸν καὶ τὴν ἀληθῆ πίστιν, ὅπως προφυλάξῃ τοὺς πιστούς. Ἐπακολούθημα τούτου ἦν, ὅτι ἐξεδίωξαν τὸν Αὐξέντιον τῶν Μεδιολάνων. Κατὰ τὸν χρόνον τοῦτον ἔγραψε τὸ ὑπόμνημα εἰς τοὺς Ψαλμούς (Commentarius in Psalmos).

Τῷ 368 [3] ὁ περικλεὴς διδάσκαλος τῶν Ἐκκλησιῶν [4], ἡ κατὰ Ἀρειανῶν μεγαλόφωνος λατινικὴ σάλπιγξ [5], ἐτελεύτησεν ἐν εἰρήνῃ [6].

---

(1) Lib. II. c. 59. pag. 456.

(2) Hieron. de vir. illust. c. 100.

(3) Sulpic. Sev. l. II. c. 59.

(4) Augustin. de Trinitate lib. VI. c. 10. Contra Julianum, lib. I. c. 3. lib. II. c. 8. n. 26, 27, 28.

(5) Fortun. de vit. S. Hilarii l. I. c. 3—5. Hieron. advers. Rufin. lib. II. c. 19. Epist. CXLI, ad Marcellam· Epist. XIII ad Paulinum· Ep. LXXXIII ad Magnum.

(6) Ἡ μνήμη αὐτοῦ ἐν τῇ ρωμαϊκῇ Ἐκκλησίᾳ τελεῖται τῇ ιδ'. Ἰανουαρίου. Ἐν τοῖς νῦν μηναίοις τῆς ἑλληνικῆς Ἐκκλησίας οὐ φέρεται τὸ ὄνομα αὐτοῦ, καίτοι ἡ ἁγιότης τοῦ βίου αὐτοῦ ἐστιν ἀναμφίβολος, καὶ ἐδικαιώθη διὰ θαυμάτων. Ἴδ. Γρηγορ. Τουρώνης de Glor. confes. c. 2. Ἀλκουΐν. de S. Willibrando· Σωζομ. Ε. 13. «Ἔνθα δὴ ταῦτα προκατωρ-

§. 120. Συγγράμματα αὐτοῦ. Βιβλίον περὶ τῆς Ἁγίας Τριάδος. Χαρακτὴρ τοῦ Ἱλαρίου ὡς δογματικοῦ.

Μεταξὺ τῶν συγγραμμάτων τοῦ ἁγίου Ἱλαρίου διαιρουμένων, τὸ μὲν εἰς δογματικὰ καὶ εἰς ἱστορικο-δογματικά, τὸ δὲ εἰς ἑρμηνευτικά, ἐν τοῖς πρώτοις τακτέον τὸ σύγγραμμα αὐτοῦ περὶ τῆς Ἁγίας Τριάδος (1) [*].

θωκότα κατέλαβεν Ἱλάριον, ὃς Πυκτάβων, πόλις δὲ ἥδε Ἀκοιτανίας, ἐπίσκοπος ἦν· ἔτυχε γὰρ πρότερος ἐκ τῆς ὑπερορίας ἐπανελθὼν . . . καὶ γὰρ δὴ καὶ ἐλλόγιμος τῇ Ῥωμαίων γλώττῃ ἐγένετο . . .» Cassian. lib. VII. de incarnat. c. 24. «Hilarius vir virtutum omnium atque ornamentorum; et sicut vita, ita eloquentia insignis: qui et magister Ecclesiarum et sacerdos, non per sua tantum merita, sed etiam per profectus crevit aliorum: et inter procellas persecutionum ita immobilis perstitit, ut per invictæ fidei fortitudinem etiam Confessoris cœperit dignitatem in libro fidei primo testatur, e. t. c.»—Hieron. Ep. VI ad Florentium: «Interpretationem quoque Psalmorum Davidicorum et prolixum valde librum de Synodis Sancti Hilarii . . .» Ep. XIII ad Paulinum: «Sanctns Hilarius Gallicano cothurno attolitur . . .» August. lib. I. contra Julianum, c. 3. «Audi adhuc . . . Ecclesiæ Catholicæ adversus hæreticos acerrimum defensorem venerandum quis ignoret Hilarium Episcopum Gallum? Qui cum de Christi carne ageret, attende quid dixerit.»—lib. II. c. 8, n. 26, 27, 28. «Audi et *beatissimum* Hilarium ubi speret hominis perfectionem . . . Catholicus loquitur, insignis Ecclesiarum doctor loquitur, Hilarius loquitur».—

(1) Τὰ συγγράμματα τοῦ ἁγίου Ἱλαρίου ἐξεδόθησαν ἐν Παρισ. τῷ 1663 curante P. Constant. Benedictino· ἡ ἔκδοσις αὕτη ἐστὶ σοφή, μετὰ σημειώσεων εἰς τὸ κείμενον τοῦ Ἱλαρίου καὶ ἐξετάσεων περὶ τοῦ χρόνου τῶν συγγραμμάτων καὶ τοῦ πνεύματος αὐτῶν. Ἀλλ' ἡ πληρεστέρα καὶ μᾶλλον ἐπιδιωρθωμένη ἔκδοσις ἐγένετο ὑπὸ τοῦ Σκηπίωνος Μαφέου ἐν Οὐηρῶνι τῷ 1730 καὶ Ἐνετ. τῷ 1749, εἰς φύλλον, ἐν τόμοις δυσί, καὶ τέλος ἡ ἐν Βιρκεβούργῳ τῷ 1785—88 εἰς 8ον ὑπὸ Φρ. Ὀβερθύρου, εἰς τόμ. 4. Συμπλήρωσις: in Martene ampl. monum. collect. T. 9. p. 55. 84. S. Hilarii interpretatio aliquot. Psalmorum (15, 31, 41), Paris. 1733, καὶ παρὰ Γαλ-

Ἡ ὑπόθεσις τοῦ συγγράμματός ἐστιν ἡ ἑξῆς:

Τὸ πρῶτον τῶν δώδεκα βιβλίων ἐστὶν εἰσαγωγὴ εἰς ἅπαν τὸ περὶ Τριάδος σύγγραμμα. Ὁ ἅγιος Ἱλάριος, ἀρχόμενος τῆς συγγραφῆς, δείκνυσι τὰς ὁδούς, δι' ὧν ὁ ἄνθρωπος εἰσέρχεται εἰς τὴν μακαριότητα καὶ εἰς τὴν ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ. Εἰπὼν τί δύναται ὁ ἄνθρωπος κτήσασθαι τῇ φυσικῇ ὁδῷ, δείκνυσι τὴν ὑπεροχὴν τῆς ἀποκεκαλυμμένης. Ἐξεικονίσας δέ, ὅσον ἀκατάληπτόν ἐστι τῷ λογικῷ, τὸ μεγα-

λανδίῳ Bibl. Patr. T. 5. Migne Op. S. Hilarii Tom. I. II. Paris. 1844. Ἐν τούτοις πολλὰ συγγράμματα μνημονευόμενα ὑπὸ τοῦ Ἱερωνύμου (de vir. illust. c. 100)— ἡ ἑρμηνεία εἰς τὸ Εὐαγγέλιον τοῦ Ἰωάννου, εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου, εἰς τὸν Ἰώβ, εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, καί τινες ἐπιστολαί, μέχρι τοῦ νῦν οὐχ εὑρέθησαν. Ἐξεδόθησαν μόνον μικρὰ τεμάχια ἐκ τῶν μελετῶν περὶ τοῦ Ἰώβ.

[*] Τὰ περὶ τῆς Ἁγίας Τριάδος δώδεκα βιβλία τοῦ ἁγίου Ἱλαρίου ἐγράφησαν μετὰ πολλῷ κρείττονος μεθόδου, ἢ τὰ τοῦ μεγάλου Ἀθανασίου περὶ τοῦ αὐτοῦ ἀντικειμένου. Τούτου δὲ αἴτιον, ὅτι ὁ μὲν τελευταῖος, ἀείποτε πλανώμενος καὶ φεύγων, οὐκ εἶχε καιρὸν τιθέναι ἐν ἀκριβεῖ τάξει τὴν ὕλην, περὶ ἧς ἐπραγματεύετο· ὁ δὲ πρῶτος, καίπερ ἐξορισθείς, διῆγε βίον πολλῷ ἠρεμώτερον καὶ ἀσφαλέστερον. Ἐκτίθησι τὰς ἰδέας αὐτοῦ μετὰ ὡρίμου σκέψεως· ἑκάστου βιβλίου προηγεῖται εἰσαγωγὴ πάνυ ἀξιόλογος· ἄρχεται ἀπὸ τῶν ἀσθενεστέρων ἀποδείξεων καὶ προβαίνει βαθμηδὸν εἰς τὰς ἰσχυροτάτας· δείκνυσι τὸν σύνδεσμον ἑκάστου τῶν μερῶν μετὰ τοῦ ὅλου, καὶ ἐξάγει ἔπειτα τὰ συμπεράσματα αὐτοῦ μετὰ θαυμαστῆς ἀκριβείας. Σκοπὸς τοῦ ἁγίου Ἱλαρίου ἐστὶν ἀποδεῖξαι διὰ τοῦ συγγράμματος τούτου τὸ ὁμοούσιον τοῦ Πατρός, τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος καθ' ἁπασῶν τῶν αἱρέσεων, ἰδίως δὲ τῆς τῶν ὀπαδῶν τοῦ Ἀρείου καὶ τοῦ Σαβελλίου. Οἱ ἀρχαῖοι περὶ πλείστου ἐποιοῦντο τὸ σύγγραμμα τοῦτο. Ὁ ἅγιος Κασσιόδωρος λέγει περὶ αὐτοῦ: «Restat nunc ut memoriam faciamus illorum, qui libris suis aliquid venerabiliter de sancta Trinitate docuerunt. Ad confirmationem igitur fidei nostræ ac hæreticorum præcavendas insidias, legendi sunt tredecim libri beati Hilarii, quos de Sancta Trinitate, profundissima et disertissima nimis oratione conscripsit» (lib. I. instit. divin. cap. XVI. Ἴδ. καὶ Rufin. lib. I. Hist. cap. XXXI. Hieron. epist. VII ad Lætam. —Σ. Μ.

λεῖον τῆς οὐσίας τοῦ Θεοῦ, τὸ ὑπὸ τοῦ ἁγίου Ἰωάννου κατ' ἐξοχὴν διαγραφέν, λέγει, ὅτι αἱ αἱρέσεις, οἵα ἡ τῶν Ἀρειανῶν, εἰσὶ καρπὸς τῶν βουλομένων περιλαβεῖν διὰ τοῦ πεπερασμένου νοῦ τὸν Ἄπειρον, καὶ διὰ βραχέων δείκνυσι τὴν ὑπόθεσιν τῶν ἕνδεκα βιβλίων αὐτοῦ, ἐν οἷς προτίθεται ἐλέγξαι τὴν θρασύτητα τῶν Ἀρειανῶν.

Ἐν τῷ δευτέρῳ βιβλίῳ ποιεῖται λόγον καθόλου περὶ τῶν προσώπων τῆς ἁγίας Τριάδος· ὁμολογεῖ, ὅτι μόνον ἡ θρασύτης τῶν αἱρετικῶν ἀναγκάζει αὐτὸν πραγματεύσασθαι περὶ τοῦ ἀκαταλήπτου μυστηρίου, καὶ ἐκτίθησι τὰς δοξασίας τῶν διαφόρων αἱρετικῶν περὶ τοῦ μυστηρίου· προτίθησι τὴν ἔννοιαν τῶν προσώπων τῆς ἁγίας Τριάδος, σημειῶν, ὅτι τὸ ἀκατανόητον τῆς αἰωνίου γεννήσεως τοῦ Υἱοῦ οὐδαμῶς ἐστι θαυμαστόν, ἐν ᾧ πολλὰ τῆς φύσεως πράγματά εἰσιν ὅλως ἀκατάληπτα, καὶ στρέφει τὴν προσοχὴν ἑκάστου εἰς τὴν ἁγίαν Γραφήν, καλῶν αὐτὴν κοινὸν ἰατρόν. Δείκνυσιν ἔπειτα, ὅτι τὸ ἅγιον Πνεῦμά ἐστι πρόσωπον διάφορον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ[α], καὶ ὁμιλεῖ περὶ τῶν ὑπ' Αὐτοῦ διδομένων ἡμῖν δωρεῶν.

Ἐν τῷ τρίτῳ βιβλίῳ δείκνυσι τὴν θεότητα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐκ τῶν λόγων Αὐτοῦ τοῦ Υἱοῦ: «Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι» [β] καὶ προτρέπει πάλιν τὸν νοῦν ὑποταγῆναι ἐνώπιον τοῦ μυστηρίου τῆς αἰωνίου γεννήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ.

[α] Εἰ, λέγει, τὸ ὄνομα πνεῦμα δίδοται ἐσθ' ὅτε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, τοῦτο λέγεται μόνον πρὸς δήλωσιν τῆς φύσεως Αὐτῶν, οὔσης ὅλως πνευματικῆς· ἀλλ' ἀλλαχοῦ ἡ λέξις αὕτη τίθεται πρὸς ἔκφρασιν προσώπου διαφόρου τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὡς ὅτε ὁ Σωτὴρ λέγει τοῖς ἑαυτοῦ μαθηταῖς: «Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας» (Ἰωάν. ιδ'. 16, 17). «. . . ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει . . .» (αὐτόθ. ιϛ'. 13, 14). Σ. Μ.

[β] Ἐν τῷ τρίτῳ κεφαλ. λέγει: «Hic ergo ingenitus ante omne tempus ex Se Filium genuit, non ex aliqua subjacente materia, quia per Filium omnia· non ex nihilo, quia ex Se Filium, non ut partem sui vel divisam, vel discissam, vel extensam, quia impassibilis et incorporeus Deus est . . . Sed in-

Ἐν τῷ τετάρτῳ βιβλίῳ προβάλλεται τοῖς ἀρνουμένοις τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρὶ τὴν πίστιν τῆς Ἐκκλησίας, καὶ δείκνυσιν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐφανερώθη τοῖς Πατριάρχαις τῆς Π. Δ.

Ἐν τῷ πέμπτῳ βιβλίῳ ἐπ' ἴσης δείκνυσιν ἐν ταῖς Θεοφανείαις τῆς Π. Δ. τὰς ἐπιφανείας τοῦ Υἱοῦ τοῦ Θεοῦ.

Ἐν τῷ ἕκτῳ βιβλίῳ μεταβαίνει εἰς τὰς μαρτυρίας τῆς Κ. Δ., καὶ ἐκθεὶς τὰς δοξασίας τινῶν, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι μόνον κατ' ἐξοχὴν πάντων τῶν ἄλλων Υἱὸς τοῦ Θεοῦ, δείκνυσι τὸ ὁμοούσιον Αὐτοῦ τῷ Πατρὶ ἐκ τῆς μαρτυρίας τοῦ Πατρὸς καὶ Αὐτοῦ τοῦ Υἱοῦ[*].

---

comprehensibiliter, inerrabiliter, unigenitum ex his, quæ ingenita in se erant procravit, omne quod Deus est per charitatem atque virtutem nativitati ejus impertiens: ac sic ab ingenito, perfecto æternoque Patre, unigenitus et perfectus et æternus est Filius· ἐν τῷ κγ'. κεφ. «Quid discindis et distrahis Filium a Patre? Unum sunt, scilicet is qui est, nihil habens quod non sit etiam in eo, a quo est». Σ. Μ.

[*] Ἰδοὺ τίνι τρόπῳ ἀναπτύσσει ὁ Ἰλάριος τὸ δόγμα, καθ' ὃ ὁ Λυτρωτής ἐστιν ἀληθὴς Υἱὸς τοῦ Πατρὸς καὶ ἀληθὴς Θεός. Σημειοῖ: Ἐν εἰδικῇ ἐννοίᾳ ὁ Υἱὸς καλεῖ τὸν Πατέρα πατέρα Αὐτοῦ, καὶ ὁ Πατὴρ τὸν Υἱὸν υἱὸν Αὐτοῦ. Ὁ Υἱὸς λέγει: ὁ Π α τ ή ρ μ ο υ· ὁ Πατήρ: ὁ Υ ἱ ό ς μ ο υ. Ὁ Υἱὸς καλεῖται μ ο ν ο γ ε ν ή ς, καὶ πολλάκις προστίθεται ἡ λέξις ἴ δ ι ο ς τῇ Υ ἱ ό ς. Ἐν τῷ Εὐαγγελίῳ τοῦ Ἰωάννου λέγεται: «Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν Αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον» (γ'. 16). «Deus, λέγει ὁ Ἰλάριος, mundum diligens hoc dilectionis suæ inid testimonium protulit, ut unigenitum filium suum daret. Si dilectionis hinc fides est, creaturam creaturis praestitisse pro mundo dedisse, quod mundi est, et ad ea, quæ ex nihilo sunt substituta redimenda, eum qui ex nihilo substitit praebuisse, non facit magni meriti fidem vilis et spernenda jactura. Pretiosa autem sunt, quæ commendant caritatem et ingentia ingentibus aestimantur. Deus diligens mundum, filium non adoptivum sed suum, sed unigenitum dedit. Hic proprietas est, nativitas est, veritas est. Non creatio, non adoptio, non falsitas est. Hinc dilectionis et caritatis fides est mundi saluti et filium et suum et unigenitum praestitisse». Ἀλλαχοῦ ἐπ' ἴσης λέγει: «Haec igi-

ἐκ τοῦ κηρύγματος τῶν Ἀποστόλων, καὶ ἐκ τῆς ὁμολογίας τῶν πιστῶν, τῶν δαιμόνων, τῶν Ἰουδαίων καὶ τῶν Ἐθνικῶν.

tur salus vera est, hoc perfectæ fidei meritum, Jesum Christum filium Dei credidisse. Non est enim dilectio in nobis ad Deum Patrem, nisi per filii fidem». Ὁ θεῖος Ἀπόστολος Παῦλος πολλαχοῦ τῶν ἐπιστολῶν αὐτοῦ δείκνυσιν, ὅτι ὁ Λυτρωτής ἐστιν Υἱὸς τοῦ Θεοῦ ἐν ἰδίᾳ ἐννοίᾳ. Λέγει· «Κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ Αὐτοῦ» (Ρωμ. ἑ. 10), καί· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ Αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν» (Α'. Κορινθ. ά. 9). «Quid, λέγει ὁ Ἱλάριος, hic haereticorum furto loci relictum est? Filius suus est, filius ejus est: non adoptio ejus est, non creatura ejus est. Nomen naturam loquitur, veritatem proprietas enuntiat, fidem confessio testatur: non intelligo quid addi possit ad naturam filii. Nam quod filius ejus est, qui esse pater creditur; non incerta et infirma ille, qui electionis est vas, locutus est· nec magister gentium et Apostolus Christi ambiquæ doctrinæ suæ errorem reliquit. Scit qui sint adoptionis filii, et qui hoc esse ac nuncupari per fidem meriti sunt». Ἑρμηνεύων τὸ ῥητὸν τοῦ αὐτοῦ Ἀποστόλου: «Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ» (Ρωμ. ή. 14. 15.), λέγει· «Fidei nostræ per sacramentum regenerationis hoc nomen est· et professio nostra nobis praestat adoptionem. Filios enim Dei, opera secundum Spiritum Dei gesta connuncupant: et clamatura nobis potius *Abba pater*, quam ex naturæ manet proprietate; quia extra naturæ proprietatem est vocis officium, et dici atque esse non idem est». Ἀναφέρων τὸ ῥητόν· «Εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τὶς καθ' ἡμῶν; ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;» (Ρωμ. ή. 31), λέγει: «Num quidnam etiam nunc adoptionis in eo erit nuncupatio, in quo proprietatis est nomen? Apostolus enim volens charitatem erga nos Dei ostendere, ut magnificentia Dei dilectionis ex comparationis genere nosceretur, non pepercisse Deum proprio filio suo docuit: non utique pro adoptandis adoptato, ne que pro creatis creaturæ, sed pro alienis suo, pro connuncupandis proprio. Quaere virtutem dicti; ut magnitudinem charitatis intelligas. Quid sit proprium expende; ne ignores veritatem. Nunc enim A-

Ἐν τῷ ἑβδόμῳ βιβλίῳ λέγει, ὅτι καί τοι εἰσὶ πονηροὶ οἱ αἱρετικοί, καί τοι καθιστᾶσι δύσκολον τὴν ἔκθεσιν τῆς ἀληθοῦς διδασκαλίας, ὅμως διὰ τῆς ἀμοιβαίας πρὸς ἀλλήλους διαφωνίας παραχωροῦσι τὴν νίκην τῇ πίστει τῆς Ἐκκλησίας εἰς τὸν ἀληθῆ Υἱὸν τοῦ Θεοῦ. Τὴν πίστιν ταύτην ὑπερασπίζει καὶ διὰ τούτου, ὅτι ἐν τῇ Καινῇ Διαθήκῃ καὶ καλεῖται Θεὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ σαφῶς δείκνυνται ἡ Ἰσότης Αὐτοῦ πρὸς τὸν Πατέρα καὶ αἱ θεῖαι Αὐτοῦ ἐνέργειαι.

Ἐν τῷ ὀγδόῳ βιβλίῳ ὑπερασπίζων τὸ ὁμοούσιον τοῦ Υἱοῦ τοῦ Θεοῦ τῷ Πατρί, λέγει, ὅτι οἱ λόγοι: ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν οὐ δηλοῦσι συμφωνίαν θελήσεως· διότι ἄλλως ἐρρέθη ἄν: ἓν θέλομεν, ἀλλ' οὐχὶ ἕν ἐσμεν. Εἰς ὑποστήριξιν τοῦ αὐτοῦ ὁμοουσίου λέγει ά.] ὅτι τὸ ἅγιον Πνεῦμα, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, πέμπεται καὶ ὑπὸ τοῦ Υἱοῦ, β'.] τὸ Πνεῦμα τὸ ἐν ἡμῖν ἐνεργοῦν ἐστι Πνεῦμα τοῦ Θεοῦ καὶ τοῦτο ἐστὶ Πνεῦμα Χριστοῦ, γ'.] ἡ προσκύνησις ἐντέλλεται τῷ Υἱῷ, οὐδαμοῦ δὲ τῷ κτίσματι, δ'.] ὁ Υἱός ἐστι Κύριος πάντων καὶ Δημιουργός. Δεῖξις ἡ ἁγία Εὐχαριστία: « Περὶ τῆς ἀληθείας τοῦ σώματος καὶ τοῦ αἵματος οὐκ ἔχει χώραν ἀμφιβολία τις. Καὶ κατὰ τὴν ὁμολογίαν αὐτοῦ τοῦ Κυρίου καὶ κατὰ τὴν πίστιν ἡμῶν ἐστιν ἀληθῶς σῶμα, ἐστιν ἀληθὲς αἷμα. Ταῦτα μεταλαμβανόμενα ὑφ' ἡμῶν, ἐνεργοῦσιν, ὥστε εἶναι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὸν Χριστὸν ἐν ἡμῖν » (VIII, 14)· έ.] κατὰ τὸν λόγον τοῦ Ἀποστόλου ὁ Υἱός ἐστιν ἐν μορφῇ Θεοῦ, ἴσος τῷ Θεῷ [α].—

postolus proprium ait filium, cum in multis vel *suum*, vel *ejus* sæpe dixiset . . . Et licet communis intelligentiæ sensu non satis inter proprium et suum differat; verum Apostolus, cum in cæteris aliis dictis *suum filium* commemorasset, quod est græce, τὸν ἑαυτοῦ υἱόν, tamen in hoc loco secundum quod ait, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο . . . naturæ viritatem significanter expressit: ut qui superius filios plures per Spiritum adoptionis demonstrasset, nunc unigenitum Deum filium proprietatis ostenderet» (lib. VI. c. 44, 45). Σ. Μ.

[α] Ἐν τῷ ιγ'. κεφαλαίῳ λέγει: « Si enim vere verbum caro factum est, et vere nos verbum carnem cibo dominico sumimus, quomodo non naturaliter in nobis

Ἐν τῷ ἐννάτῳ βιβλίῳ ἑρμηνεύει τὰ χωρία ἐκεῖνα, ἅτινα ἀνέφερον οἱ Ἀρειανοὶ ὑπὲρ τῆς ἑαυτῶν δοξασίας. Μάρκ. ί. 18: «Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· τί μὲ λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰμὴ εἷς ὁ Θεός». αὐτοθ. ιγ΄. 32. «Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι οἱ ἐν οὐρανῷ, οὐδὲ ὁ Υἱός, εἰμὴ ὁ Πατήρ».—Ἰωάν. έ. 19: «Ἀμὴν ἀμὴν λέγω ὑμῖν· οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ᾽ ἑαυτοῦ οὐδέν, ἐάν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ». αὐτοθ. ιδ΄. 28. «Ἠκούσατε, ὅτι ἐγὼ εἶπον ὑμῖν· ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς· εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν, ὅτι πορεύομαι πρὸς τὸν Πατέρα· ὅτι ὁ Πατήρ μου μείζων μου ἐστι». αὐτοθ. ιζ΄. 3. «Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν». Αἱ ἀμφιβολίαι λύονται ἄριστα.—

Ἐν τῷ δεκάτῳ βιβλίῳ ἀποκρίνεται πρὸς τοὺς ἀντιτάσσοντας τὰς θλίψεις καὶ τὰ πάθη τοῦ Ἰησοῦ Χριστοῦ. Λέγει, ὅτι ὁ Χριστός, ὢν Υἱὸς Θεοῦ, ἦν καὶ Υἱὸς ἀνθρώπου, ἀλλὰ μόνον οὐκ εἶχεν ἁμαρτίαν, καὶ τὰ πάθη αὐτοῦ ἀνεφέροντο εἰς τὴν ἀνθρωπίνην φύσιν, κατὰ τὴν ἣν ἀνεδέξατο κλῆσιν τοῦ Λυτρωτοῦ (1).

---

manere existimandus est, qui et naturam carnis nostræ jam inseparabilem sibi homo natus assumpsit et naturam carnis suæ ad neturam aeternitatis sub sacramento nobis communicando carnis admiscuit? ita enim ommes unum sumus, quia et in Christo pater est, et Christus in nobis est. Quis quis ergo naturaliter Patrem in Christo negabit, neget prius non naturaliter vel se in Christo, vel Christum sibi inesse, quia in Christo Pater et Christus in nobis, unum in his esse nos faciunt. Si vere igitur carnem corporis nostri Christus assumpsit, et vere homo ille, qui ex Maria natus fuit, Christus est, nosque vere sub mysterio carnem corporis sui sumimus (et per hoc unum erimus, quia Pater in eo est, et ille in nobis) quomodo voluntatis unitas asseritur, cum naturalis per Sacramentum proprietas perfectae sacramentum sit unitatis». Σ. Μ.

(1) Ἐνταῦθα ἐπ᾽ ἴσης λέγει: «Missus est in peccati carnis Similitudine, portans quidem in carne peccata, sed nostra, et pro nobis dolens, non et doloris nostri dolet sensu; quia habitu ut homo re-

Ἐν τῷ ἑνδεκάτῳ βιβλίῳ λύει ἄλλας τινας, ἀλλὰ λίαν ἀσθενεῖς ἐνστάσεις, ὡς π. χ. τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται.

Ἐν δὲ τῷ δωδεκάτῳ βιβλίῳ ἑρμηνεύει τοὺς λόγους: Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, καὶ διὰ βραχέων δείκνυσι τὴν ἀξίαν τοῦ ἁγίου Πνεύματος. Τέλος καταπαύει τὸ σύγγραμμα διὰ δεήσεως πρὸς τὸν Θεὸν ὑπὲρ τηρήσεως τῆς εἰλικρινοῦς πίστεως ἐν τῇ καρδίᾳ αὐτοῦ.

Ὁ ἱστορικὸς Ρουφῖνος, λόγον ποιούμενος περὶ τῶν συγχρόνων τῷ Ἱλαρίῳ διδασκάλων τῆς Δύσεως, ἔγραψεν, ὅτι ἡ πλήρης αὐτῶν ἐπιτυχία ἐν τῇ ὑπερασπίσει τῆς ὀρθοδοξίας ἐξηρτᾶτο ἐκ τούτου, ὅτι «ὁ Ἱλάριος ἀνὴρ τὴν φύσιν ἤρεμος, εἰρηνικός, καὶ σύναμα πεπαιδευμένος καὶ λίαν ἱκανὸς πείθειν τοὺς ἄλλους, ἐπεμελεῖτο τοῦ ἔργου μετὰ μείζονος προσοχῆς καὶ ἐπιτηδειότερον τῶν ἄλλων»(¹). Τὸ εἰρηνικὸν πνεῦμα τοῦ ἁγίου Ἱλαρίου καὶ τὴν βαθεῖαν γνῶσιν τοῦ πνεύματος τῆς πίστεως τοῦ Χριστοῦ εἴδομεν καὶ ἐν τῇ πρὸς τὸν Κωνστάντιον ἐπιστολῇ αὐτοῦ, ἀλλ' ἰδίως μετὰ τὴν ἀνάγνωσιν τοῦ περὶ τῆς ἁγίας Τριάδος συγγράμματος, ἀδύνατον ἐκ τοῦ περισσεύματος τῆς καρδί-

---

pertus, habens in se doloris corpus, sed non habens naturam dolendi, dum et hominis habitus est, et origo non hominis est, nato eo de conceptione Spiritus Sancti». Οἱ λόγοι οὗτοι τοῦ Ἱλαρίου ἐψέχθησαν καὶ πολλαχῶς ἐξηγήθησαν. Ἡ ἔννοια τοῦ διδασκάλου ἐστιν, ὅτι ὁ Χριστὸς ἤλγει ἐφ' ἡμῖν, ἀλλ' οὐχ ὥσπερ ἡμεῖς οἱ ταρασσόμενοι καὶ ἐξασθενοῦντες ἐκ τῶν θλίψεων. Ἡ λύπη Αὐτοῦ ἔχει πάντη διάφορον σημασίαν καὶ δύναμιν. Διὰ τί τοῦτο; Διότι καὶ ἡ ἀνθρωπίνη φύσις τοῦ Ἰησοῦ ἐμορφώθη ὑπὸ τοῦ ἁγίου Πνεύματος· ἡ δὲ Θεότης Αὐτοῦ οὐκ ἠδύνατο αἰσθάνεσθαι τῶν σωματικῶν παθημάτων. Ἐξήγησιν τῶν μὴ κατὰ πάντα σαφῶν ἐκφράσεων τοῦ ἁγ. Ἱλαρίου ὅρα παρὰ Const. Praefat. general. iu op. S. Hilarii §. 41-262, παρὰ Ὀϐερθύρῳ Τ. 2. p. 8-104. T. 1. p. 1-92.—

(¹) Lib. I. c. 31. «Duos istos viros, velut magnifica lumina, illyricum Italiamque suo splendore sic radiasse, ut omnes etiam de abditis angulis at abstrusis hæreticorum tenebræ fugarentur; hanc tamen Hilario laudem præcipuam tribuit, quod cum esset natura lenis et placidus, simulque eruditus, et ad persuadendum commodissimus, rem diligentius et aptius procurabat.

ας μὴ ἐπαναλαβεῖν τὴν γνώμην τοῦ ἱστορικοῦ περὶ τοῦ εἰρηνικοῦ, τοῦ ἠρέμου πνεύματος τοῦ ἁγίου Ἱλαρίου, καὶ περὶ τῆς ἐμπειρίας αὐτοῦ περὶ τὴν πρὸς τοὺς ἐχθροὺς τῆς ἀληθείας ἀναστροφήν. Οὐδόλως παρασυρόμενος ὑπὸ τῆς ἀγανακτήσεως κατὰ τοῦ ψεύδους, οὔτε ὑπὸ τῆς καταφρονήσεως πρὸς τὰς ταπεινότητας τῆς ἀσεβείας, εἰσέρχεται ἐλευθέρως εἰς τὴν οὐσίαν τῆς ὑποθέσεως, καὶ ἐκεῖ εὑρίσκει ἰσχυρὰς ἀποδείξεις κατὰ τῶν ἐναντίων. Ὀλίγον ἀσχολεῖται περὶ τὰς διαλεκτικὰς λεπτότητας, ἀλλὰ προβάλλει πάνυ ἰσχυρὰς ἀποδείξεις τοῖς ἐχθροῖς τοῦ λόγου τοῦ Θεοῦ· ἡ διασάφησις πολλῶν δογματικῶν χωρίων ἐστὶν ἐξαίρετος. Ἡ ἁρμονία τῶν μερῶν πρὸς τὸ ὅλον καὶ ἡ ἀλληλουχία τῶν ἰδεῶν δεικνύουσιν, ὅτι τὸ σύγγραμμα ἦν ἐπεξειργασμένον ἔν τε τῷ ὅλῳ καὶ ἐν τοῖς μέρεσι. Καθόλου ῥητέον, ὅτι τὸ περὶ τῆς ἁγίας Τριάδος σύγγραμμα οὐ μόνον ἐν τῷ χρόνῳ τοῦ Ἱλαρίου ἠδύνατο εἶναι ὠφέλιμον, καὶ τῷ ὄντι ἦν ὠφέλιμον, ἀλλὰ διά τε τὴν δύναμιν καὶ τὸ πνεῦμα αὐτοῦ οὐδέποτε ἀποβαλεῖται τὴν ζωηράν, τὴν προσήκουσαν ἐν παντὶ καιρῷ σημασίαν αὐτοῦ. Ὁ Κασσιόδωρος λόγον ποιούμενος περὶ τῶν γραψάντων περὶ τῆς ἁγίας Τριάδος, λέγει τάδε: «Πρὸς στερέωσιν τῆς πίστεως ἡμῶν καὶ προφύλαξιν ἀπὸ τῶν αἱρετικῶν πανουργιῶν—δέον ἀναγινώσκειν τὰ βιβλία τοῦ ἁγίου Ἱλαρίου περὶ τῆς ἁγίας Τριάδος, λέξει λαμπρᾷ καὶ ἐννοίαις βαθυτάταις κεκοσμημένα (1) [*].

(1) Institut. divin. l. I. c. 16. Πρβ. Hieron. epist. VII. ad Lætam. Σωζομ. ἐκκλ. ἱστορ. γ'. 14.

[*] Ἰδοὺ τί λέγει ἐν τῷ αὐτῷ βιβλίῳ cap. 17, 18 ὁ αὐτὸς Κασσιόδωρος περὶ τοῦ ἱεροῦ Ἱλαρίου «Tunc in illo choro sanctissimo Patrum tibi eum eligere poteris, cum quo suavissime, colloquaris. Difficile dictu est quam frequenti occassione reperta Scripturas Sanctas locis aptissimis potentes aperiant; ut subito transiens discas, quod te negligenter præteriisse cognoscis. Testes sunt doctissimi viri diversa laude præcipui, quibus, velut stellis micantibus cœlum, fulget Ecclesia: inter quos Sanctus Hilarius Pictaviensis urbis episcopus nimia profunditate subtilis et cautissimus disputator incedit, altasque divinarum Scripturarum abyssos in medium reverenter adducens facit».—Σ. Μ.

§. 121. Συγγράμματα ἱστορικο-δογματικὰ καὶ ἑρμηνεῖαι εἰς τὴν ἁγίαν Γραφήν.

Διὰ τὴν ἱστορίαν τῶν δογμάτων, καὶ ἰδίως διὰ τὴν ἱστορίαν τῶν πρὸς τοὺς Ἀρειανοὺς ἐρίδων, τὰ συγγράμματα τοῦ ἁγίου Ἱλαρίου εἰσὶν ὠφελιμώτατα. ά.] τὸ βιβλίον περὶ τῶν συνόδων κατὰ Ἀρειανῶν (De synodis adversus Arianos liber) ἢ περὶ τῆς πίστεως τῶν Ἀνατολικῶν (de fide Orientalium) περιέχει τὴν ἔκθεσιν τῆς πίστεως τῶν διαφόρων ἀνατολικῶν συνόδων, ὀρθοδόξων τε καὶ Ἀρειανῶν. Ἐν τῷ πρώτῳ μέρει ἐπαινοῦνται οἱ ἐπίσκοποι τῆς Γαλλίας, διότι ἔμειναν σταθεροὶ ἐν τῇ πίστει, καὶ οὐκ ἐκοινώνησαν τοῖς Ἀρειανοῖς. Ἐν τῷ δευτέρῳ μέρει δείκνυσι πόσον οἱ Ἀρειανοὶ πρὸς ἰδίαν ὠφέλειαν παρερμηνεύουσι τοὺς λόγους: ἴσος κατὰ τὴν οὐσίαν καὶ ὅμοιος κατὰ τὴν οὐσίαν· ἐν τῷ τρίτῳ βιβλίῳ ἐπαινεῖ τοὺς πληρεξουσίους τῆς ἐν Ἀγκύρᾳ συνόδου κατηγορήσαντας τῆς ἐν Σιρμίῳ συνόδου, καὶ ἐξετάζει τὰς βάσεις, ἐφ' ὧν ἡ ἐν Σιρμίῳ Σύνοδος ἐστήριξε τὰς ἑαυτῆς ἀποφάσεις. Δι' ὅλου τοῦ συγγράμματος καταφαίνεται, ὅτι ὁ Ἱλάριος σπουδάζει ὁρίσαι τὴν ἀλήθειαν καὶ διασκεδάσαι τὰς προλήψεις τῆς Δύσεως κατὰ τῆς Ἀνατολῆς.

β'.] Τὸ σύγγραμμα Apologetica ad reprehensores libri de Synodis responsa διασαφεῖ καὶ συμπληροῖ τὸ περὶ συνόδων βιβλίον.

γ'.] Κατὰ δυστυχίαν οὐ διεσώθη πλῆρες τὸ πολύτιμον ἱστορικὸν σύγγραμμα (opus historicum) περὶ τῆς ἐν τῇ Ἀριμίνῳ συνόδου,—ἔνθα ἐκ τῶν πράξεων τῶν ἀρειανῶν συνόδων καὶ τῶν ἀρχηγῶν αὐτῶν δείκνυται ἡ ἀληθὴς σημασία τοῦ ἀρειανισμοῦ. Ἀλλά, καὶ ὡς νῦν ἐστι, περιέχει πολυτίμους εἰδήσεις καὶ πράξεις.

δ'.] Αἱ τρεῖς ἐπιστολαὶ πρὸς τὸν Κωνστάντιον καὶ τὸ κατὰ Αὐξεντίου βιβλίον εἰσὶ μνημεῖα τῶν ἐν τῇ Ἀνατολῇ καὶ τῇ Δύσει συμβάντων κατὰ τὰς ἀρειανὰς ταραχάς (1).

Ἐν τῷ τελευταίῳ συγγράμματι ἔγραψε πρὸς τοῖς ἄλλοις τήνδε

(1) Ἴδ. σελ. 113. σημ. 1, 4. σελ. 114. σημ. 1, 2. σελ. 115. σημ. 2, 3.

τὴν ὁμολογίαν τῷ οὐρανίῳ Πατρί: «Οὐ παραδέχομαι, Πάτερ, ὡς ἀντικείμενον τῆς ἐμῆς πίστεως, ὅτι ὁ Κύριος καὶ Θεός μου, ὁ μονογενής Σου Χριστὸς Ἰησοῦς, ἐστι κτίσμα· οὐκ ἀνέξομαι δὲ ὀνομάζων οὕτω καὶ τὸ Πνεῦμά Σου, τὸ ἐκ Σοῦ ἐκπορευόμενον, καὶ παρ' Αὐτοῦ πεμπόμενον.

Ἐλάσσονα σπουδαιότητα ἔχουσιν αἱ ἑρμηνεῖαι ἢ αἱ ὁμιλίαι τοῦ Ἱλαρίου εἰς τὸ Εὐαγγέλιον τοῦ Ματθαίου καὶ εἰς τοὺς Ψαλμούς. Ἐν τῷ συγγράμματι τούτῳ, ἔγραψεν ὁ Ἱερώνυμος περὶ τῆς ἑρμηνείας τῶν ψαλμῶν, ἐμιμήσατο τὸν Ὠριγένην, ἀλλὰ προσέθηκε καί τινα ἀφ' ἑαυτοῦ(1). Τοῦτο δηλοῖ, ὅτι ὁ Ἱλάριος, καί τοι σχεδὸν μετέφρασε τὸ κείμενον τῆς ἑρμηνείας τοῦ Ὠριγένους, ὅμως παρένειρε καί τινα παρ' ἑαυτοῦ, μὴ πιέζων τὴν ἐλευθερίαν τῆς ἰδίας διανοίας. Εἴς τινας ψαλμούς, οἷοι οἱ 118—126 ἔγραψεν ἰδίαν ἑρμηνείαν. Συνεχῶς μετὰ σεβασμοῦ ποιεῖται μνείαν τῆς μεταφράσεως τῶν Ο. (2). Ἀναγινώσκων πρῶτον τὸ ἑβραϊκὸν κείμενον, ἐπωφελεῖται ἐξ αὐτοῦ τῇ βοηθείᾳ τοῦ φίλου αὐτοῦ Ἡλιοδώρου(3).

(1) Hieron. de vir. illustr. c. 100.«Hilarius....in Psalmos commentarios, primum videlicet et secundum, et a quinquagesimo primo usque ad sexagesimum secundum, et a centesimo decimo octavo usque ad extremum, in quo opere imitatur Origenem, nonnulla etiam de suo addidit».

(2) Tractat. in Psalm. II. pag. 29. «Sed perfecta horum Septuaginta Interpretum auctoritas mamet... Horum igitur translationes Hebraeis tum lingua tantum sua utentibus non erant necessariae ... Beatus ergo Apostolus Paulus secundum professionem suam Hebraeus ex Hibraeis, etiam secundum Hebraicam cognitionem et fidem Psalmum hunc primum esse dixit, translatorum distinctione non usus; cui maximum hoc studium erat, ut Dominum nostrum Jesum Christum Dei Filium natum, passum, resurgentem regnare in æternum ex doctrina legis ostenderet;; tenuit itaque hunc modum ut Hebraeus ipse et Hebraeis praedicans Hebraeorum consuetudine uteretur. Sed nobis translatorum auctoritate, legem non ambiquitate litterae, sed doctrinae Scientia transferendo». in Psalm. 59, §. 1. 67, §. 12, 21. in Psalm. 118 pag. 457. Proleg. in Psalm.

(3) Tract. in Psalm. 2. §. 2—4. in Psalm. 65. §. 3. in Psalm. 118. lit. 8. η. I. in Psalm. 124. §. 4.